Blemmydes ut supra vidimus per plures annos medicinae studio sese dedidit et compluria scripta medica in usum discipulorum composuit. praeterea diligentissime eum in mundi leges et in corporum naturam inquisivisse liber ille testimonio nobis est, quem de rebus physicis scripsit. cum autem hoc in opere conficiendo rationem ac disciplinam nunquam neglexerit, tamen interdum experimentis illis alchymistarum allectus esse videtur, quibus sana insanaque mira quadam ratione confusa insunt. traditur enim codice Paris. Gr. 2329 et Paris. Gr. 2509 opusculum breve, cuius titulum ab Henrico Omont comitate solita nobis descriptum hic legas: *περὶ τῆς ὠοχρυσοποιίας, ἧς μετῆλθεν ὁ σοφώτατος ἐν φιλοσόφοις κυρὸς νικηφόρος ὁ βλεμίδης καὶ ηὐμοίρησε τοῦ σκοποῦ τῇ συνεργίᾳ τοῦ πάντα ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγόν-*

τος χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν. ᾧ πρέπει δόξα εἰς αἰῶνας τῶν αἰώνων. ἀμήν. ea quae continentur accuratius disserere eo minus necessarium existimavi, quod nisi alia eiusdem generis scripta simul comparantur nihil memorabile inde effici posse videtur. hoc unum afferre mihi liceat solem Blemmydam putare eadem materia compositum esse atque aurum.

Ad extremum commemoramus codice Bodleiano Canon. Graec. 23 fol. 136 fragmentum breve asservari, quod ita inscribitur: πρὸς τὸν ἐν φιλοσόφοις μέγαν ⟨φιλό⟩καλον καὶ ἁγιώτατον ἱερομόναχον νικηφόρον τὸν βλεμίδην περὶ εὐγενείας. inc.: ἀλλ' ὦ τῆς εὐταξίας καὶ εὐβουλίας τῶν στρατηγῶν κτλ. cuius auctor qui fuerit nescimus nec conicere possumus. fortasse autem Theodorus II Lascaris hoc opusculo Blemmydae respondit, postquam librum illum qui βασιλικὸς ἀνδριάς inscribitur ab eo dedicatum accepit.

NICEPHORI BLEMMYDAE

CURRICULUM VITAE ET CARMINA.

Τοῦ αὐτοῦ Νικηφόρου μοναστοῦ καὶ πρεσβυ- fol. 217r
τέρου, τοῦ κτήτορος, περὶ τῶν κατ' αὐτὸν
διήγησις μερική. λόγος α'. μηνὶ Μαΐ-
ῳ ἰνδικτιῶνος ζ', ἔτους ͵ϛψοβ'.

I. Ἓξ ἔτη διηνυκὼς ἐπὶ δεκάκις ἓξ ἐκ γενέσεως μνείαν εἱλόμην ποιήσασθαί τινων ἐν βίῳ συνηντηκότων μοι — τῶν γὰρ ἁπάντων οὐκ ἀναγκαῖον ἀλλ' οὐδ' ἐξόν — καὶ στήλην ὁμολογίας εἰς τὸν βοηθὸν καὶ σώστην ἐγεῖραι καὶ κηδεμόνα καὶ κτίστην, τὸν κραταιόν, τὸν σοφόν, τὸν ἀγαθόν, ὧν τε προηγουμένως εὖ ἐπεπόνθειν καὶ ὧν ἑπομένως ἐκ κλύδωνος διασεσωσμένος καὶ καταποντισμοῦ καὶ χάους ἀπωλείας ὁρωμένης καὶ νοουμένης. εἴη δ' ἂν τὸ σπούδασμα καὶ τοῖς σὺν ἐμοί — πολὺν δ' αὐτῶν πεποίημαι λόγον — τῆς τε πρὸς θεὸν εὐγνωμοσύνης ὑπόθεσις καὶ τοῦ προὐργιαίτερον τιθέναι καὶ τροφῆς καὶ πνοῆς καὶ ζωῆς τὸ πρὸς αὐτὸν ἀτενίζειν ὑφήγησις. ἀλλὰ δὴ καὶ οἱονεί τις προφυλακὴ καὶ πρὸς πόνους χρησίμους ἐπάλειψις. ἐπεὶ δὲ λόγος τοῖς λογικῶς ἐν κόσμῳ παρηγμένοις τὸ πρεπωδέστατον, τῆς ἐν λόγοις εὐεργεσίας μεμνήσομαι πρώτης. ὅτι καὶ μετὰ τὴν παραγωγὴν αὕτη πρώτη τὴν τάξιν· εἶτα κιν-

10 αὐτῶν] αὐτὸν M

δύνου θέμενος ἀπαλλαγὴν ὥσπερ τι μεταίχμιον, ἐς ψυχὴν ἐπεισφρήσαντος ἐν νεότητι δι' ἀπροσεξίαν οὐκ οὔσης νήψεως, οὐκ οὔσης φυλάξεως, ἐπαναδραμοῦμαι πάλιν ἐς λόγους καὶ τοῖς ἐχομένοις προσμεταβήσομαι, τήν τε διήγησιν ἐπιτομωτέραν ἁπανταχῇ ποιεῖσθαι καὶ τὴν τάξιν φυλάττειν τῶν πραγμάτων προῃρημένος, εἰ μή που παρεισέλθοι τι τῶν εἰσέπειτα συνῳκειωμένον τοῖς πρὸ αὐτοῦ.

II. *Παιδικὴν* οὖν ἡλικίαν ἄγων ἔτι τὴν γραμματικὴν ἐκπεπαίδευμαι τέχνην, ἐπὶ τέσσαρσιν ἔτεσιν ἐσχολακὼς ταύτῃ μικροῦ τινος δέοντος. οὔτε γὰρ ἀπεσκληκὼς ἦν ἐς τέλεον οὔτ' εὐφυΐας μέτοχος περιττῆς, ἀλλ' ὅμως φιλομάθεια καὶ σπουδὴ τὸ τῆς φύσεως ἀνεπλήρουν ὑστέρημα. πολύ μοι γὰρ τὸ φιλόνεικον προτέρω μὲν τῶν ἄλλων ἐς διδασκάλου φοιτᾶν, ὑστέρω δ' ἐκεῖθεν οἴκοι παλιννοστεῖν, τόν τε τῆς κοινῆς | [fol. 217v] ἀποφοιτήσεως καιρὸν τὰ πολλὰ συνῆν ἀκοίνως τοῖς διδασκάλοις γνῶσιν ἐξ αὐτῶν ἰδίᾳ καρπούμενος. πρὸς δὲ τούτοις καὶ πρό γε τούτων, ἀρίστων εὐμοιρηκὼς ἐν πνεύματι παιδευτῶν, μεμάθηκα παρ' αὐτῶν, τίς ὁ διδάσκων ἄνθρωπον γνῶσιν· καὶ πρὸς αὐτὸν οὐκ ὀλιγώρως ἑώρων, καὶ πρώτως ἐξ αὐτοῦ τὴν γνῶσιν ἐξήτουν, ἀφ' οὗ καὶ πᾶσαν διακυβέρνησιν. μετὰ γραμματικὴν ὁμηρικαῖς βίβλοις καὶ λοιπαῖς ποιητικαῖς προσωμιληκὼς καὶ προγυμνασίαις Ἀφθονίου καὶ τῇ Ἑρμογένους ῥητορικῇ, τῆς ἐν φιλοσοφίᾳ λογικῆς ἡψάμην παιδείας, ἓξ ἐπὶ δέκα διεληλυθότων ἐνιαυτῶν ἐξ οὗπερ ἐγεγόνειν ἢ γοῦν ὡς ἔγγιστα. φωνὰς καὶ κατηγορίας καὶ περὶ ἑρμηνείας ἐκπεπαιδευμένος, μείζονος δ' ἐπὶ λόγους

7 παρεισέλθοι] παρεισέλθῃ M ‖ 15 ὑστέρω] ὑστέρῳ M ‖ 29 ἐκπεπαιδευμένος] ἐκπαιδευόμενος M

ἐφιέμενος ἐπιδόσεως, οὐκ εἶχον τὸν ἡγησόμενον. ἐφ' ᾧ καὶ τοῖς αὐτοῖς ἐνεστρεφόμην. ἅμα καὶ ἰατρικῆς ἐπιμελόμενος λογικῶς τε καὶ πρακτικῶς· πατρικὴ γὰρ ἄσκησις ἡ τέχνη κἀμοὶ σύντροφος ἄχρις ἐτῶν ἑπτὰ περατώσεως.

III. Ὅτε καὶ τὸν εἰκοστὸν ἐξ ἀρχῆς φυῆς παραμείψας ἐνιαυτόν, εἰ μὴ ὅτι κύριος ἐβοήθησέ μοι, κατέδυν ἂν ὡσεὶ λίθος εἰς ὄντως ὀλέθρου βυθὸν ἐξ ἐμῆς ἀναισθησίας καὶ ἀκρισίας τοῦ τε συνοίσοντος τοῦ τε βλάπτοντος. ἐς ὃ μὲν γὰρ συνηθειῶν ἠλλοτριώμεθα καὶ φιλιῶν ὑπερεωρῶμεν, ἐπηρείας ἄτερ τὸν βίον διήγομεν, πρὸς θεὸν μόνον οἰκείως ἔχειν καὶ πρὸς αὐτὸν ὁρᾶν ἀτενῶς προθυμούμενοι καὶ τῇ ἀναγνώσει διηνεκῶς προσανέχοντες. ἐπεὶ δ' εἰς συνηθείας καὶ φιλίας ἐτράπημεν, κλύδων ἡμῖν οὐκ ἀνεκτὸς ἐπεγείρεται. τῶν γὰρ πάνυ συνήθων τις, τῶν εὐπατριδῶν, τῶν ἐπιφανῶν, εἶχε καὶ τὴν αὐτοῦ τῆς αὐτῆς συνηθείας ἐπειλημμένην, καὶ πείθοντες ἀλλήλους ἦσαν καὶ παραθήγοντες ἡμῶν ἔχεσθαι κατὰ κράτος καὶ ἀδιασπάστως. καὶ ἦν πρὸς ἡμᾶς ἀμφοῖν διά τε τὴν τέχνην καὶ δι' ἄλλ' ἄττα τυχὸν ἰσοπαλὴς ἀγὼν ἀγαπήσεως, ὁμοίας μὲν δοκούσης, ὁμοίας δ' οὐκ οὔσης. τοῦ μὲν γὰρ σώφρων ἦν, τῆς δ' ἀντίπαλος καὶ ἀντίθετος ⟨τῆς⟩, ἀναισχυντούσης, θρασυνομένης, | [fol. 218r] ἀκαθέκτως ἐχούσης ἐς τὴν ἀσέλγειαν. καὶ ἡμεῖς τῷ φενακίζειν μὲν ἑαυτοὺς οὐ τεθαρρηκότες διὰ τὰ πολλοῖς ἐπισυμβεβηκότα τὴν οὕτω κραταιωθεῖσαν αἴφνης διαρρῆξαι συνήθειαν, ἀληθείᾳ δὲ μᾶλλον ἀφραίνοντες, ὡς ἐπὶ τρισὶν ἔτεσι πρὸς τὴν τῆς μαινάδος λύτταν ἀντικατέστημεν, ἐς ὃ τοὺς μὲν ὁ κραταιὸς ἡμῶν

2 τοῖς αὐτοῖς] τῆς αὐτῆς M ‖ 20 δι' ἄλλ' ἄττα] διάλλάττα M ‖ 23 ⟨τῆς⟩ om. M

βοηθὸς καὶ σοφὸς κυβερνήτης μετῴκισεν ἄλλοθι γῆς. ἡμῖν δὲ τὴν αἰθρίαν ἐβράβευσεν ἀνεπιμιγῆ καὶ εἰλικρινῆ, καὶ τὸν ῥόον ἅπαντα περιελόμενος ἐν ὅλῳ τῷ κλύδωνι.

IV. Τῆς ἀνωτέρω δεδηλωμένης ἑπταετίας συντετελεσμένης, ἐπ' ὀλίγον ἀναστραφέντες ἐν βασιλέων αὐλαῖς καὶ σκηνώμασιν, ὡς ἂν μηδὲ τῆς ἐκεῖ καταστάσεως — παίδευσιν καὶ ταύτην καλοῦσιν — ἀγνῶτες ὦμεν καὶ ἀδαεῖς, εὑρίσκομεν ἐς ἀνακεχωρηκότας λόγους ἠγήτορα· Πρόδρομον ἐπεκάλουν αὐτόν, ἡ Σκάμανδρος εἶχεν αὐτόν. καὶ τοὺς ὀνείρους βαρεῖς ἐπεισπεσόντας καὶ τῶν ὕπνων ὑπερεκτεταμένους ἐκτιναξάμενοι, μηδὲν τῶν ἐκ τοῦ κρατοῦντος τοῖς αὐτὸν διαδιδράσκουσιν ὑπολογισάμενοι, πρὸς ὃν ἐζητοῦμεν ὀξέως φερόμεθα, μήτε τῆς ὁδοῦ μακρᾶς οὔσης καὶ κινδυνώδους μήτε τῆς τῶν ἄρχειν ἐκεῖσε λαχόντων ἀξυμφιλίας — οὐ γὰρ ὑπὸ τὰ τῶν Ἑλλήνων τῷ τότε σκῆπτρα ἡ Σκάμανδρος — δεδυνημένων τὴν ὁρμὴν ἐπισχεῖν· ἀλλ' ἐξ ἑτέρας ἐπικρατείας εἰς ἑτέραν ἐχθράν, τῶν ὁρίων ἑκατέρωθεν — πῶς ἂν παραστήσαιμι; — φρουρουμένων, ἵνα μή τις ἐντεῦθεν ἐκεῖ μήτ' ἐκεῖθεν ἐνταῦθα διέρχεσθαι δύνοιτο, τὰς ἀβάτους διωδευκότες ὥσπερ οὐκ οἴδαμεν ἀφικνούμεθα. βλέποντες ἄνω καὶ τὴν ἐξ ὕψους ὁδήγησιν καὶ προάσπισιν ἐκκαλούμενοι. καὶ πᾶσαν φρουρὰν ὑπερβάντες καὶ πάντα κίνδυνον διαδράντες ἐκ τοῦ κατευθύνοντός τε καὶ σώζοντος καταλαμβάνομεν ἐκεῖνον, εἰς ὃν ἐσπεύδομεν.

V. Ὢ πῶς ἡμῖν καταπραΰνει τὸ ἄρχον ἔθνος ὁ πάντα μετασκευάζων βουλήματι καὶ τῶν συνήθων μηδὲν λειπό-

7 τῆς] τοῖς M ‖ 28 Ὢ] ὢ M

μενον εἰς ἡμερότητα διατίθησι. καὶ δὴ τῆς ἀριθμητικῆς ἀκροασάμενος Νικομάχου κἀκ τῆς Διοφάντου τῆς οἱονεὶ χρησμολογικῆς — οὐ γὰρ πάσης, ἀλλ' ὅσης ἦν εἰδήμων ὁ ἐκδιδάσκων, ὡς ἔλεγε — τῆς τε γεωμετρίας τῆς ἐν ἐπιπέδοις καὶ στερεοῖς, οὐ μὴν ἀλλὰ καὶ δεδομένοις ἐμμελετήσας καὶ σφαιρικοῖς καὶ τοῖς ὀλιγομόχθοις | ὀπτικοῖς [fol. 21v] καὶ κατοπτρικοῖς, ὅλος ἔχομαι τῆς ἀστρονομίας, οὐ τῆς χαμαὶ ῥιπτουμένης παρὰ τῶν νοῦν ἐχόντων καὶ ῥιπτούσης τοὺς νοῦν οὐκ ἔχοντας, εἰς ἐκτελεσμοὺς ἀπαγούσης καὶ ἀποβάσεις καὶ γενέσεις καὶ περισκοπήσεις καιρῶν καὶ λήρους ἄλλους καὶ βάραθρα, τῆς ὑψιβάμονος δὲ καὶ ἄνω φερούσης, ἣ τὴν ⟨τοῦ⟩ οὐρανοῦ περιφορὰν καθ' ὅλον αὐτὸν καὶ κατὰ μέρη διασαφεῖ καὶ τὰς τῶν ἀστέρων κινήσεις, ὅσοι τε σὺν τῷ παντὶ μόνως ὡς αὐτοῦ μέρη φέρονται τὴν αὐτὴν ὅσοι τε πρὸς ταύτῃ καὶ ἰδιαιτάτην ἔχουσιν ἄλλην ἀντιφοράν, δήλας τίθησιν, ἐπιτολάς τε καὶ δυσμὰς αὐτῶν ἄλλας ἀλλαχῇ καὶ ἀειφανείας καὶ ἀφανείας παρίστησι, σχέσεις τε καὶ ἀποστάσεις καὶ πάθη τὰ μὲν ὄντα τὰ δὲ δοκοῦντα καὶ ἡμερῶν καὶ νυκτῶν αὐξήσεις καὶ μειώσεις, οὐ τὰς αὐτὰς ἁπανταχῇ, καὶ ἰσότητας, ἔτι δ' ἐναλλαγὰς ὡρῶν ἑτέρας ἑτέρωθι καὶ ταυτότητας ἢ γοῦν ὁμοιότητας καὶ ἄλλα πολλὰ παραπλήσια παραδίδωσι, καὶ τὰς ἁπάντων αἰτίας διατρανοῖ καὶ ὑπ' ὄψιν αὐτὴν τὰ πράγματα κεῖσθαι παρασκευάζει διὰ τῆς γραμμικῆς ἀποδείξεως, μὴ ῥητορικῆς δεομένη μηδὲ γραμματικῆς.

VI. Ταύτην ὡς ἐνεχώρει τὴν θεωρίαν ἀκριβασάμενος τῇ συλλογιστικῇ προσταλαιπωρῶ, καὶ ταύτῃ προσηκόντως ἐγγυμνασάμενος — ἦν γὰρ καὶ τὴν συλλογιστικὴν

4 τῆς ἐν] τοῖς ἐν M ‖ 12 ⟨τοῦ⟩ om. M ‖ 26 μηδὲ] μὴ δὲ M ‖ 29 ἦν] ἣν M

ὁ καθηγητὴς ὥσπερ δὴ καὶ τὴν γραμμικὴν ἐμπειρότατος — ἐπὶ τὴν φυσικὴν χωρῶ. καὶ ταύτῃ προσενδιατρίψας οὐκ ἄχρι τέλους — ἤδη γὰρ προβαίνειν εἶχον καὶ τοῖς ἐξηγηταῖς μόνοις χρώμενος ποδηγοῖς — παλινδρομῶ πρὸς τὸ Νύμφαιον τὸν ὅμοιον τρόπον, κινδύνου παντὸς ἀπείρατος. καὶ τῆς τοσαύτης εὐκληρίας τὰς χάριτας τῷ δοτῆρι προσωφληκώς, ἔκτοτε λόγους ἀκροαματικούς, ἐξωτερικούς, ἀσκληπιαδείους — τί χρὴ καταλέγειν προσηγορίας αὐτῶν; — μελέτης ἔργον πεποιημένος ταῖς ἱεραῖς ἐγκύπτω βίβλοις τῆς θεοπνεύστου γραφῆς ἐμμονώτερον. ἐπεὶ καὶ πρότερον ἐξ ἀρχῆς τοῦ ξυνιέναι καὶ σοφοῖς ἐν πνεύματι προσεφοίτων κατὰ καιροὺς ἰδίους καὶ ταύταις οὐ διέλειπον ξεναγούμενος καὶ μάλιστα νύκτωρ τῶν μεθημερινῶν φροντισμάτων ἐκδυστάμενος — οὕτω τῇ αὐτῶν ἀγάπῃ τετρωμένος ἐγώ — συνερίθους ἔχων αὐτὰς κἀν τοῖς ἔνδον κἀν τοῖς ἐκτός, ὅτι καὶ | [fol. 219r] νοῦν οἴδασι καθαίρειν καὶ φωτίζειν θεολογοῦσαι καὶ ῥυθμίζειν ἦθος ὑποθημοσύναις καὶ ὑποδείγμασιν· ἀλλ᾽ ἡ μὲν ἐπιστατικὴ καὶ κατεξεταστικὴ τῶν λόγων σκέψις ἐν ἄλλοις καιροῖς.

VII. Ἐπανεληλυθὼς δὲ τῆς Σκαμάνδρου καὶ τοῦ διδάσκοντος, ἐπεὶ καὶ αὖθις ἐς τὴν προηγησαμένην εἱλκόμην ὀνειροπόλησιν, ταύτης ἀφέμενος ταραχωδεστέρᾳ πολλῷ γε πρόσειμι, ἐκκλησίᾳ καὶ κλήρῳ, τοῖς σεμνοῖς ἐξηπατημένος ὀνόμασιν. ἕκτον οὖν διανύων ἔτος ἐν τῷ βίῳ καὶ εἰκοστὸν τῇ Νικαέων, ἐν ᾗ καὶ τὴν ἐγκύκλιον περιενόστησα, καθὼς ἐν τῇ Προυσαίων τὴν προτεταγμένην αὐτῆς ἐγραμμάτισμαι, Γερμανοῦ τοῦ τὰ θεῖα σοφοῦ πατριαρχοῦντος ἐπιδημῶ. τῆς ⟨γὰρ⟩ Κωνσταντίνου

14 sq. τῇ αὐτῶν ἀγάπῃ] τῆς αὐτῶν ἀγάπης M ‖ 19 κατεξεταστικὴ] κατεξαστικὴ M ‖ 29 ⟨γὰρ⟩ om. M

ἢ τοῦ Βύζαντος ἐκπεπορθημένης ὑπὸ τῶν Ἰταλῶν ἐν τῇ Βιθυνῶν μητροπόλει καὶ ὁ πατριαρχικὸς μετετέθειτο θρόνος ὡς ἔπηλυς, ὡς ἐπίθετος, καὶ τοῖς βασιλεῦσιν οἶκοι δεδόμηντο, κἂν ὁ τότε κρατῶν Ἰωάννης — οὗτος ἦν ὁ δεδοξασμένος ὑπὲρ πολλοὺς βασιλέας ὑπὸ θεοῦ — τὴν ἀνακτορικὴν σκήνωσιν ἔχειν ἐν Νυμφαίῳ προείλετο. δυοῖν δ᾽ ὄντοιν κλήροιν ὑφ᾽ ἑνὶ προέδρῳ τῷ πατριάρχῃ — συντετήρητο γὰρ τῇ μητροπόλει καὶ ὁ θρόνος καὶ ὁ κλῆρος πλὴν ἰδιαιτάτου ποιμένος καὶ τἆλλα προνόμια, τῆς τῶν πόλεων βασιλίδος τὰ πρώην ἐλπιζομένης ἀπολήψεσθαι σκῆπτρα· καὶ ἡ ἐλπὶς ὡς ἑωράκαμεν οὐ κατῄσχυνεν — ὁ πατριάρχης τῷ μεγάλῳ κλήρῳ τῆς ἐμῆς πατρίδος ἐγκαταλέγει με καὶ ἀναγνώστην αὐτὸς καθιστᾷ καὶ μετὰ χρόνον βραχὺν ἐν τοῖς Χριστοῦ γενεθλίοις διάκονον αὐτουργεῖ κἀν τοῖς μετ᾽ αὐτὰ θεοφανίοις προχειρίζεται λογοθέτην, ταῦτα πάντα τελέσας δι᾽ ἡμερῶν οὔπω τριάκοντα. φίλος γὰρ ὢν ἐκ μακροῦ τὰ τῆς φιλίας καὶ ὑπὲρ τὸ εἰκὸς διεπράττετο. διὸ καί οἱ ἐγγὺς εἶχεν ἡμᾶς τῷ τῶν αὐτοῦ σκηνωμάτων ὑπερφερεῖ κεχρημένους, ὑπὸ τῶν αὐτοῦ ἐξυπηρετουμένους, τραπέζης αὐτῷ κοινωνοῦντας, οἷς ἠθέλομεν τρεφομένους καὶ μὴ τρεφομένους οἷς οὐκ ἠθέλομεν. ὁ δ᾽ ἔστεργε καὶ μᾶλλον ἐτίμα καὶ πλέον μὴ παρόντας. συνετίμων δὲ καὶ τὸ τῆς πόλεως ἐν τιμῇ αὐτόχθον ὁμοῦ τε καὶ μέτοικον, τὸ ταύτης ἐν κλήρῳ, τὸ ἄβιον, τὸ κοινόν, τῷ σφῶν αὐτῶν ἀρχιποίμενι χαριζόμενοι πῶς οὐκ ἂν φαίη τις.

VIII. Ἐντεῦθεν φθόνος ῥιζοῦται καὶ φύεται καὶ αὔξει καὶ πληθύεται τοῖς προκεκληρωμένοις συμπατριώταις καὶ εἴ τις προσήλυτος, ὅσον δεινὸν τιθεμένοις,

1 ἢ] ἡ M

προκατεσχηκότων αὐτῶν τοὺς βαθμούς, ὑπερβεβηκέναι fol. 219v τὸν νέηλυν, πρὸς δὲ καὶ τοσαύτης πρὸ τοσούτων ἠξιῶσθαι τιμῆς. τί τοίνυν; ἄλλος ἄλλην ἀτοπίαν ἀφ' ἑαυτῶν τε καί τινων ἑτέρων βασκάνων ἐρανισάμενοι πρότερον ἐτονθόρυζον, εἶτα καὶ πρὸς ἀλλήλους καὶ τοὺς αὐτοῖς προσέχοντας διαρρήδην ἐξέφερον. δύο δὲ τῶν ὅλων οἱ σκαιότατοί τε καὶ ἀναιδέστατοι — τῷ μὲν Πεπαγωμένος ἐπώνυμον, ὃς ἐν ὑστέρῳ καὶ Νικομηδείας προήδρευσε, τῷ δὲ Χαλαμᾶς, ὃς Κυζίκου — πάντας ἀνέσειον καὶ ἀνεκύκων καὶ τοὺς αὐτῶν συσπουδαστὰς εἰς τοῦτ' αὐτὸ παρεκίνουν θρασύτερον, τὴν τῆς ἐργολαβίας νωχελίαν ὁπότ' ἐνεδίδουν κατονειδίζοντες καὶ πρὸς τὴν πρόθεσιν ἐποτρύνοντες. οὗτοι καὶ τῷ πατριάρχῃ τὰ συμπεφορημένα λαθρηδὸν ὑπηγόρευον· οὐδὲν γὰρ τῶν ἐπικλημάτων οὐδεὶς παρόντων ἡμῶν οὐδέποτ' ἔτλη προενεγκεῖν. ὅθεν οὐδ' ᾔδειμεν σαφῶς, τίνα λέγουσι, μόνον δ' οὖν ὡς αἰσχρότητας· τοῦτο γὰρ ἡμῖν καὶ ὁ πρὸς ὃν αἱ ὑπαγορεύσεις ᾐνίττετο. τουδὶ φάσκοντος αὐτοῖς, δεῖν εἰς ἐπήκοον ἐξενεχθῆναι τὰ ἐν κρυπτῷ, — τοῦτο γὰρ καὶ κανόνων ὅρισμα καὶ νόμων διάταγμα — πρὸς τοῦτο λίαν ἀπεδυσπέτησαν, μὴ σθένειν ὅλως εἰπόντες κατηγορικῶς ὑποφέρειν ἀλλ' ἀναφορικῶς ὑπαγορεύειν ἅπερ ἐπύθοντο. καὶ τοῦτο δὲ πάντως αὐτοῖς ὁ τῆς κακίας ὑπέθετο σοφιστής, ἵνα καὶ μώμους εἰσάγωσι καὶ τὰς τῶν ἐλέγχων ἀπαιτήσεις διαδιδράσκωσιν. οὕτως οἱ δεδηλωμένοι δι' ἔτους ὅλου μηχανουργοῦντες, ὀρύττοντες λάκκους, ἀνασκάπτοντες βόθρους, ἐπείπερ οὐκ ἴσχυσαν εἰς ὃν ἐζήτουν οὐδέν, ἄλλως τὸν πατριάρχην μετέρχονται, καλὸν εἶναι λέγοντες μὴ τεταράχθαι τὰς ἑαυτῶν ψυχὰς ἐξ ὧν ἀκηκόασιν. ἐπεὶ δὲ τοῦτ' ἐγεγόνει καὶ ὁ ἐλέγχων οὐκ ἔστι καὶ κατάκρισις χώραν οὐκ ἔχει, τὸν δι' ὃν ἔπαθον αἰτοῦσι τῷ ἑαυτὸν συστήσασθαι περιελεῖν ἅπαν σκάνδαλον· οὕτω γὰρ ἂν εἰρηνεύσαιεν. ἦν δ' αὐτοῖς ὁ σκοπός, ὡς ἐξ αὐτῆς ἐφάνη τῆς ἀποβάσεως, εἰ μὲν πρὸς τὴν τοιαύτην δυσανασχετήσαιμεν σύστασιν, λέγειν ἔχειν αὐτοὺς θαρσοῦντας ὡς ἁλισκόμεθα, ταύτης δὲ γεγονυίας, ὅτι πεφαρισσεύμεθα.

IX. Τί γοῦν; τὸν ὃν οὕτω μετῆλθον ἑαυτοῖς ἔσχον ἐπικλινῆ. καὶ τῶν τοῦ Χριστοῦ γενεθλίων ἀγομένων λαοῦ τε χύματος ἠθροισμένου κατὰ τὸ εἰωθὸς πρὸς τὴν τῆς θυσίας τελεσιουργίαν οὗτος ἡτοίμαστο. καὶ πρὸς τὸ θυσιαστήριον ἀπιέναι παρεσκευασμένος, συμπαρεπομένων δὴ καὶ ἡμῶν, 'πληροφορίας' φησὶ 'διὰ τὰ ἐπισυμβεβηκότα δεῖ καὶ συστάσεως' ἀποβλεψάμενος fol. 220r πρὸς ἡμᾶς· 'ἀναθέματι γοῦν αὐτὸς σαυτὸν καθυπόβαλον, εἰ τοιαῦτ' ἐπεπράχεις οἷα λελάληνται· καὶ γὰρ οὕτω καὶ ὁ Λοπαδίου πεποιηκὼς τὰ λαληθέντα δι' αὐτὸν ἀπετρίψατο.' ἔδει μὲν οὖν ἡμᾶς τὴν εἴτ' ἐπιταγὴν εἴθ' ὑφήγησιν ὡς ὀθνείαν καὶ παρέγγραπτον ἀποκρούσασθαι καὶ τοὺς ἀνοήτους λελοιπότας θορύβους ἑαυτῶν γενέσθαι, καθὼς ἐν ὑστέροις εἰς τοῦτ' αὐτὸ κατηντήκειμεν. ἐπεὶ δὲ θεοῦ φωνὰς τὰς τοῦ ποιμένος ἡγήμεθα πρὶν ἢ τῆς ἀπεριέργου γνώμης αὐτοῦ πειραθῆναι καὶ ἁπλοϊκῆς 'ἀλλὰ καὶ τοῦτο προσθείην ἔγωγ'', ἔφην· 'ἦ μὴν ἀλλ' οἱ ταῦτα λέγοντες εἶεν ἂν κληρονόμοι τοῦ ἀναθέματος.' ὁ δ' ἐσιώπησε, καὶ ἡμεῖς διαλαλησάμενοι τρανῶς, ὡς ἄπιμεν ἤδη, κατὰ

2 προ] πρὸς M | 29 ὃν] ὧν M

23 ἑαυτῶν] ἑαυτὸν M | 27 ἢ] ἡ M | 29 ἄπιμεν] ἀπημεν M

τὸ δεδογμένον ποιήσασθαι πεποιθότως ὡρμήκαμεν. καὶ ἀναβάντες τὸν ἄμβωνα καὶ τοὺς ἐν αὐτῷ ψαλτῳδοῦντας κατασιγάσαντες μεγαλοφώνως ἐξεβοήσαμεν· ‘εἰ μυσαρίας ἑαυτοὺς διαπεπραχότας σύνισμεν ὥς τινες λέγουσι, κληρωσαίμεθα τὸ ἀνάθεμα· τούτου δ' οὐκ ὄντος, οἱ ἐπ' αὐταῖς ἡμᾶς διασύροντες αὐτὸ δικαίως κληρώσαιντο.’ τούτων οὕτω γεγενημένων συνεισωδεύσαμεν καὶ συνελειτουργήσαμεν τῷ πατριάρχῃ κατὰ τὸν ἐθισμόν.

X. Ἔκτοτε συνεληλυθότες οὐκ ὀλίγοι τοῦ ἱερατικοῦ, μεθ' ὧν καὶ ἱεράρχαι τινές, πρὸς αὐτὸν ‘ἴσθι πάντας ἡμᾶς’ ἔφασαν ‘ἀλλὰ καὶ πλείους ἄλλους ὑποδίκους ὄντας τῷ ἀναθέματι· καὶ γὰρ ἀπερισκέπτως ἀλλήλοις ὁμιλοῦντες ἅπερ οὐκ ᾔδειμεν εἴπομεν.’ καὶ ὃς ‘καὶ δικαίως ἐστὲ κατάκριτοι· διὰ τί γὰρ πειρᾶσθε μωμοῦν, ὃν ὑπεύθυνον ὧν ἔφατε κακῶς οὐκ ἐπίστασθε, καθὼς ὁμολογεῖτε δὴ καὶ αὐτοί;’ ταῦτα καὶ πολλοὺς εὐφήμους λόγους ἐπειπὼν δι' ἡμᾶς, ὅμως τῆς αὐτῶν μόγις ἡττᾶται δεήσεως· ἡ δ' ἦν ἐπιτιμηθήσεσθαι διὰ τὴν προσθήκην ἡμᾶς, ὡς δῆθεν μὴ κατὰ γνώμην αὐτοῦ γεγοννῖαν. καὶ δὴ μετακαλεσάμενος ⟨ἡμᾶς⟩ καὶ κατεπᾴσας ἐπαίνοις καὶ περιαγαγὼν ἀναρρήσεσιν αἰτεῖται μᾶλλον ἢ ἐπιτάττει μιᾶς λειτουργίας, τῆς τῶν φώτων, ἀποχὴν καταδέξασθαι, ὡς ἂν ἔχοιεν οὗτοί, φησιν, ἐντεῦθέν τινα παραμυθίαν τῆς συμφορᾶς, κἂν οὐκ ἤνυσαν οὐδὲν οὐδαμῶς. πάντες γὰρ ἐν βραχεῖ διεφθάρησαν, ὁ δὲ Πεπαγωμένος μετὰ τὴν προεδρίαν καὶ ὁ Χαλαμᾶς· ὁ μὲν αἴφνης ἀνήρπαστο πρόεδρος ὤν, ὀλίγον ἐκ τῆς μεταρσιότητος τὸ ἐπίχαρι σχών, ὁ δὲ Χαλαμᾶς ταύτης καθῃρημένος, τοὺς φιλτάτους

14 διὰ τί] διτί M ‖ 20 ⟨ἡμᾶς⟩] om. M ‖ 21 κατεπᾴσας] κατεπάσας M

ἀποβεβλημένος, ἐσχάτῃ πενίᾳ καὶ νόσῳ περιεσχημένος fol. 220v ζωὴν ἀπέζησε θανάτου χαλεπωτέραν.

XI. Οὐδὲ γὰρ ἠρκέσθησαν οἷς δεδημιουργήκασι πρότερον, ἀλλ' ἐπωνείδιζον, ἐπεμυκτήριζον, ἐπετώθαζον φαρισσαίους ἀποκαλοῦντες ἡμᾶς. καίτοι γε τί φαρισσαϊκὸν εἰρήκειμεν; μὴ ὅτι νηστεύομεν ἢ ὅτι πάντων ὧν κτώμεθα δεκάτας ἀποδιδόαμεν ἢ ὅτι οὔκ ἐσμεν ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων· οἰκτροῦ χριστιανοῦ βίου ἑαυτοῖς ἑλκυσθέντες καὶ τυραννηθέντες, οὐκ ἐπιδραμόντες, ὡμολογήκαμεν. ὁ γὰρ ἀποχῇ καὶ μόνῃ τῶν ὧν ἀπηυξάμεθα περιορίζων ἑαυτῷ τὸν χριστιανισμὸν ἀθλιώτατος. οὐκ εἴπομεν, ἁμαρτίας οὐ διεπραξάμεθα, — τίς γὰρ ἡμῶν πολυαμαρτητότερος; — ἀλλὰ μυσαρίας. πᾶσα μὲν γὰρ ἀποτυχία τοῦ ὀρθοῦ καὶ κατὰ φύσιν ἁμαρτία ἐστὶ ⟨καὶ⟩ κατὰ τοὔνομα. μυσαρίαι δέ εἰσιν ἰδιαίτερον αἱ διὰ σώματος ἐνεργούμεναι προαιρετικῶς ἀκαθαρσίαι δι' αἰσχίστην ἡδονήν, ὡς βδελυγμίαι οὐσιωδῶς, ἐφ' ὧν ἐνίαις διέβαλον ἡμᾶς τῆς ἐκκλησίας οἱ τρόφιμοι. τίσιν οὖν ἐφαρμόζει τὸ φαρισσαϊκόν, ἐροίμην ἂν προσφόρως αὐτούς, τοῖς βιασθεῖσι καὶ οὕτω τὰς ἐπεισάκτους συκοφαντίας εὐσυνειδήτως ἐκπεμψαμένοις ἢ μᾶλλον τοῖς ἑαυτοὺς δικαιοῦσιν ἐκ τοῦ καταβοᾶν ἑτέρων αὐτομόλως ὅλαις ὁρμαῖς, καὶ ταῦτ' ἐφ' οἷσπερ οὐκ ἴσασιν; οὐ μέχρις ὀνείδους εἰς ἡμᾶς φαρισσαϊσμοῦ καὶ λοιπῆς χλεύης οἱ τὴν εἰρήνην ἐπαγγειλάμενοι προὔβησαν;

XII. Ἀλλ' ἐπὶ πλέον ἐθήρευον καὶ περιεσκόπουν διὰ παντός, εἴ τί που τοῖς θηρευομένοις εὕροιεν ἁλώσεως καὶ πτώσεως αἴτιον, ἀνηρεύνων τε πόλεις καὶ χώρας

13 πολυαμαρτητότερος] πολυαμαρτότερος M ‖ 15 ⟨καὶ⟩ om. M ‖ 17 αἰσχίστην] αἴσχιστον M

ἐν αἷς ἀνεστράφημεν, καὶ εἴ τίς που λόγος σαθρὸς ἤκουσταί ποτε περὶ ἡμῶν κατεξήταζον. καὶ ἦν ἔργον αὐτοῖς περισπούδαστον διακωμῳδεῖν ἅμα καὶ περιεργάζεσθαι τὸν φθονούμενον. εὑρίσκουσιν οὖν τὴν Σμυρναίων, διατριβῆς ἡμῖν τόπον πολυετοῦς. ἐν αὐτῇ γὰρ πρώτως ἐκ τῆς Βιθυνῶν ἐληλύθειμεν, ἑπτακαιδέκατον ἔτος ἄγοντες, καὶ τῇ μητροπόλει καὶ τῷ ἱερῷ πολὺ fol. 222r προσηδρεύσαμεν, — ὁ τῆς Κρήτης ποιμὴν | Νικόλαος ἐπιδόσεως λόγῳ ταύτην τῷ τότε διίθυνε — καὶ οἱ τοῦ κλήρου γινώσκοντες ἦσαν ἡμᾶς ὡς οὐχ ἕτεροι. κἀν τῷ Νυμφαίῳ γὰρ μεταβεβηκότες ἐθάμιζον ἐν Σμύρνῃ καὶ τὰ ἡμέτερα πάντα δῆλα Σμυρναίοις. λόγιος δ' ὢν ὁ ἱεράρχης φιλίως εἶχε πρὸς τοὺς λόγου καὶ μόνου ἡμμένους. ἐφ' ᾧ καί τις οὐκ ἄτεχνος τὴν γραμματικὴν τῷ τοιούτῳ συνῆν, γράφων ἐς κάλλος ὡς οὐ πολλοί, γραφεὺς ἐν ψυχῇ κακὸς ἀγνοούμενος, ἀρρήδην σωφροσύνης ἐπίβουλος. τὸ δ' ἑξῆς ὀκνηρῶς ἔχων διασκευάζειν τοῦτο μόνον ἐρῶ· λόγος πάθους κρατεῖ καὶ πάθος λόγον συκοφαντεῖ.

XIII. Τοδὶ καθὼς ἐπόθουν οἱ ⟨κακομήχανοι⟩ καθ' ἡμᾶς ἐς ἀκοὴν ἐσχηκότες ἐκ τῶν πρὸς ἡδονὴν ἐθελόντων λέγειν αὐτοῖς ἕρμαιον ἥγηντο. καὶ τοῦ πατριάρχου τὴν ὅση περ ἰσχὺς περιοδεῦσαι τῆς ποιμεναρχουμένης προῃρημένου καὶ γεγενημένου κατ' Ἔφεσον, — ἐς πολὺ δὲ καὶ ταύτῃ προσμεμενήκαμεν — ζητοῦσιν οὗτοι τοὺς τοῦ κλήρου τῆς Σμυρναίων πρωτεύοντας ἐξαγγεῖλαι τῷ πατριάρχῃ τὰ καθ' ἡμᾶς ὡς ἀσφαλεῖς αὐτῶν ἐπιίστορας, ἐλπίσι κεναῖς βουκολούμενοι. ἔτυχον δ' οἱ ζητούμενοι γινομένης ἐξισώσεως ἐν Ἐφέσῳ διάγοντα τὸν ἐξισωτὴν τὸν

5 γὰρ] γὰρ γὰρ M | 16 sq. ἀρρήδην] ἄρρεσι M || 17 ἑξῆς] ἐξῆς M || 20 ⟨κακομήχανοι⟩] om. M

Καρύκην, τὸν κριτὴν καὶ τῶν φιλοσόφων ὕπατον, διὰ τὰς αὐτῶν κτήσεις ἐκμειλισσόμενοι. ἔπνει καθ' ἡμῶν οὗτος ὅσον ἐχθρόν ὡς αὐτῷ φιλούμενον ἄνδρα λογικευόμενον, τῆς μεγάλης διάκονον ἐκκλησίας παλαιγενῆ, κοινωνὸν ἔχειν ἀπειρηκότων διὰ νόμοις οὐκ ἐγνωσμένον συνοικισμὸν καὶ μὴ στέργοντα τὴν ἀπόρρησιν ἀργῆσαι παρασκευασαμένων ἐξ ἀποδείξεως. τὴν οὖν ἐφ' οἷς τῶν ἐν κλήρῳ ζήτησιν ὁ Καρύκης ἀναμαθών. προετοιμασάμενος αὐτοὺς ἐποτρύνει πρὸς τὸν πατριάρχην ἀπιέναι σπουδῇ· καὶ δὴ πάρεισιν, οὓς καὶ εἰσάγουσιν οἱ ἀντίθετοι. βρενθυόμενοι τοῖς ἠκουσμένοις καὶ ταῖς προετοιμασίαις | τεθαρσηκότες καὶ τοῖς ἐλπιζομένοις ὡς ἐκβεβηκόσιν ἐπιγαννύμενοι. fol. 222v

XIV. Τρεῖς ἦσαν οἱ πρὸς τὸ καταμαρτυρῆσαι τῆς ἡμετέρας εἰσηγμένοι βιώσεως, ὁ τῶν πρεσβυτέρων πρῶτος, ὁ τῶν ἐν διακόνοις ἀρχόντων δεύτερος καὶ ὁ ταῖς ἐκκλησιαστικαῖς διακονούμενος ἀποκρίσεσι καὶ συμβολαιογράφος τῆς πόλεως. οἳ καὶ ἀφορισμῷ συγκεκλεισμένοι διηνεκεῖ, παρόντων καί τινων ἐπισκόπων τῶν κατὰ χώραν, εἴπερ ἂν οὐκ ἐξείποιεν ὡς ἐπίστανται περὶ τῆς ἡμετέρας διαγωγῆς ἀνόθευτον τὴν ἀλήθειαν, τἀναντία πάντα τοῖς τὸ ἀντιφερόμενον προσδοκωμένοις μέρος καὶ μεθ' ὑπερβολῆς ὡμολόγησαν, ἥλιον ὑποδεικνύντες καὶ ἃ λέγει Παῦλος περὶ τοῦ τιμήσαντος ἡμᾶς καὶ τὰς ἡμῶν καλύψαντος αἰσχύνας προφέροντες, συνεπιμαρτυρούντων τῶν ἐπισκόπων. καὶ τὸν κατὰ τῆς ἀσελγείας ἀγῶνα δημοσιεύοντες ὅπως τε δι' ἡμῶν ὁ ἠγνοημένος ἐγνωσμένος καὶ τῆς μητροπόλεως ἀπεληλαμένος — Χαϊτᾶς ἐπωνόμαστο καθὼς Αὐτωρειανὸς ὁ τῷ Καρύκῃ φίλος

22 τὸ ἀντιφερόμενον] τῷ ἀντιφερομένῳ M

διάκονος — τὰς αὐτοῦ πράξεις ἐλογοποίησεν εἰς τὸν ἐλέγξαντα καὶ ὑπέσπειρεν. οὕτω με κύριος τοσούτων ἀνέδειξεν ἐπιβούλων ὑπέρτερον, μηδένα μηδαμῶς ὑπερήγορον ἔχοντα, μηδένα συνέριθον πλὴν αὐτοῦ, μηδένα τὸν ἐπιγινώσκοντα, μηδένα τὸν ἐκζητοῦντά με πλὴν τοῦ κτίσαντος καὶ τεκνώσαντος· ὅτε δὲ τοῦτό φημι, τὸν υἱὸν ἐμοὶ προσιστορῶ τὸν νεώτερον, καὶ τὴν πατρικὴν εὐσπλαγχνίαν ἀναλογίζομαι κἀκεῖθεν φαντάζομαι τὴν ἐπάνοδον. ἐκεῖθεν γὰρ ἡ γνῶσις, ἐκεῖθεν ἡ περὶ τῶν μισθίων ἐνθύμησις· πᾶσα γὰρ δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθεν. τί δ' ἐν ἡμῖν ἐπιστροφῆς τοῖς οὐχ ὡς ἔδει τὴν υἱότητα διατετηρηκόσιν ἀγαθώτερόν τε καὶ τελεώτερον; ἔτι χειμών, ἔτι ζάλη καὶ μανιρῶν κυμάτων συμφόρησις, ἔτι μέγας σεισμός, καὶ καθεύδων ὁ κυβερνήτης ἐπὶ βραχὺ καὶ διεγειρόμενος ἐν καιρῷ καὶ τῇ θαλάσσῃ καὶ τοῖς ἀνέμοις ἐπιτιμῶν.

XV. Ἀρχιερέων κατάλογος ἐν τῷ στρατοπέδῳ τῶν βασιλικῶν ἀγχοῦ που σκηνῶν συνήθροιστο, τῷ τὴν βασιλείαν ἐν τῇ Θετταλῶν σφετερισαμένῳ τὴν τῆς ἁλουργίδος ἀπόθεσιν δι' ἐπιστολῆς ἐπισκήψοντες τῷ μὴ συνοίσειν τοῖς ὁμογενέσι μηδ' ἐπιπρεπῶς ἔχειν αὐτοκράτορας εἶναι δύο καὶ πατριάρχας δύο· καὶ τοῦτο
fol 223r γὰρ ἐκεῖνος διενενόητο. καὶ τὸ | ἄθροισμα μικρὸν ἐλαττούμενον μητροπολιτῶν τεσσαράκοντα, καὶ πάντες πλὴν τοῦ πατριάρχου τὸν Αὐτωρειανὸν μετὰ τὰς ἀποδείξεις εἰς τὴν προτέραν τάξιν ἐπαναγαγεῖν ἡτοιμάσθησαν, τὸ μὲν καταθωπευθέντες ὑπὸ τῶν ἐν τοῖς ἀνακτόροις καὶ μάλιστά γε διὰ τὸν ὕπατον, τὸ δὲ καὶ τό, δι' ὃ μετακεκίνηται, τῷ καὶ ἄλλους ἁλωτοὺς αὐτῷ πεφηνέναι

4 συνέριθον] συνερίθον M ‖ 14 ἔτι] ὅτι M ‖ 18 ἀγχοῦ] ἄγχου M ‖ 20 ἁλουργίδος] ἀλουργίδος M

μὴ προσιέμενοι. τοῦτο δ' ἦν αἱρετὸν καὶ τῷ κλήρῳ, πλὴν ἐμοῦ μηδενὸς ἀντιτείνοντος. διὸ καὶ τραχυτέροις ἐχρῶντο πρός με λόγοις οἱ πάντες. τέλος ἔφη τις καὶ πολλὰ λέγεσθαι κατ' ἐμοῦ. πρὸς τοῦτ' ἀντέφην ἐγώ· 'τί δέ μοι μέλει τῶν λεγομένων ἀναποδείκτως; ἰδοὺ γὰρ καὶ τῆς Ἐφεσίων ὁ ποιμενάρχης ὁ πρωτεύων ἐν τῇ συνόδῳ τῆς αὐτῆς λέγεται τῷ ἀνορθουμένῳ μοίρας εἶναι καὶ οὐκ ἐν παραβύστῳ παρὰ πολλῶν'. ἦν δ' οὗτος ὁ Μοναστηριώτης, ὁ ἐμὸς μυσταγωγὸς ἐν γραμματικῇ καὶ ἡλίσκετο. τοῦτό με φάμενον ὁ πατριάρχης πρῶτος, εἶτα καὶ τῶν ἀρχιερέων ἕκαστος κατὰ τὴν αὐτῶν τάξιν ἀφώρισαν, τῶν τοῦ κλήρου δέ τινες διελοιδοροῦντο μοι. κἀγὼ εἱστήκειν οὐκ ἔχων ὅποι καὶ νεύσαιμι· πάντες γὰρ ἀντικαθιστάμενοι.

XVI. Συντονώτερον οὖν πρὸς τὸν ἐμὸν βοηθὸν ἀπιδὼν τρανῶς ἐξεβόησα· 'ὁ θεὸς ἐφορᾷς τὰ γινόμενα', καὶ σιγήσας πρὸς αὐτὸν ἠτόνιζον μόνον. οἱ καθ' ἕνα δὲ τῶν συνέδρων γνώμαις ἐγγράφοις τὸν σπουδαζόμενον εἰς τὸν αὐτοῦ βαθμὸν ἀνεβίβασαν. τοῦ πατριάρχου γνώμην ἐκθεμένου ταῖς ὅλαις ἀντιφωνοῦσαν καὶ τῷ τῶν ἱεραρχούντων βεβουλημένῳ διάκονον ἔχειν τὸν τοιοῦτον ἐξεῖναι φήσαντος, ὡς τοῦ τῆς κατ' αὐτὸν ἐκκλησίας βήματος οὐδέποτ' ἐπιβησόμενον. οὕτω τὴν περὶ τούτου διεκβιβασάμενοι κρίσιν εὐθὺς κἀμὲ τοῦ δεσμοῦ σύμπαντες μεθ' ὅσης ἐπειγωλῆς ἀπολύουσιν. ἦν γὰρ ὁ ἐμὸς βοηθὸς ἄνωθεν κατετάζων καὶ βασανίζων τὰς καρδίας αὐτῶν. ἐπεὶ δ' οὐκ ὀλίγου παρῳχηκότος καιροῦ πολλοὶ τὸν πατριάρχην οὐ διέλειπον ἐκλιπαροῦντες ἄλλοτ' ἄλλοι, ποτὲ δὲ καὶ οἱ αὐτοί, μὴ τῶν τοσούτων ἀρχιερέων

5 μέλει] μέλλει M

παρὰ φαῦλον θέσθαι τὰς γνώμας ἀλλ' ἐνδοῦναι τῷ συνοδικῶς ἀνακεκλημένῳ τὴν ἐπιτιμίαν — εἴ τι γὰρ πρόκριμα, τοῖς ἀνακεκληκόσιν ἐπιφορτίζεσθαι — καὶ πρὸς τέλος ἔδοξε χωρεῖν αὐτῶν τὴν σπουδὴν διὰ πατριαρχικῆς fol. 223v ἐπινεύσεως , εὐθὺς ὁ μέγιστος ἀρχιερεὺς ὁ τοὺς οὐρανοὺς διεληλυθὼς καὶ παντὶ τῷ κόσμῳ παρὼν ἄνωθεν ἐπιφέρει τὴν ψῆφον καὶ τὸν ὡς οὐκ ὤφελεν ἀνακεκλημένον καὶ τῆς ἀνακλήσεως καὶ τῆς ζωῆς καθαιρεῖ μετὰ σφοδρᾶς ὀδύνης κυναγχικῆς.

XVII. *Μετὰ τὴν τῆς θαλάσσης καὶ τῶν πνευμάτων* οὕτω κραταιὰν ἐπιτίμησιν γαλήνη μεγάλη γίνεται καὶ πάντες αἰδοῦνται καὶ ὑποστέλλονται· καὶ μαθητιῶσι καὶ τὸ ἡμέτερον οἰκητήριον — μεταβεβήκαμεν γὰρ ἐκ τῶν ὑψηλῶν, τὴν ποιμεναρχικὴν συσκήνωσίν τε καὶ συνδιαίτησιν ἐκλιπεῖν ᾑρημένοι — μουσεῖον τίθενται. καὶ τοῖς ζητοῦσιν ὁ λόγος ἕτοιμος εἰς ἀκρόασιν. ἐπεὶ δ' ὁ πατριάρχης τὴν εἰς ἔρευναν τῶν Μανιχαίων διενοήσατο στείλασθαι, τὴν τῶν αὐτῶν προσηκόντων ἐν τῇ Νικαέων ὡς κοινῷ ποιμένι διεξαγωγὴν ἡμῖν ἀνατίθησι. καὶ τῶν γεραιτέρων ὁ γογγύζων οὐδείς, ἀλλὰ πάντες στέργουσι τὴν ἐπιλογὴν καὶ πάντες ὑπείκουσιν. ἡμεῖς δὲ τῶν εἰς τοιαύτην ἐπιλελεγμένων ὑπηρεσίαν ὄφλημα κρίνοντες καὶ τὸ τῶν ἀδικουμένων ὑπερμαχεῖν, ὅσην τῷ πράγματι δέον εἰσφέρομεν τὴν ἐπειγωλήν. ἐπεὶ τῷ τότε τὴν Νικαέων ἡ παρὰ τοῦ ταύτης ἄρχοντος ἀδικία δεινῶς ἐλυμαίνετο, πολύ τε τὸ ἀνθεστηκὸς ἡμῖν ἐξ αὐτοῦ καὶ ἀντίπαλον. ἔνθεν τοι καὶ ποικίλαις εἰς αὐτὸν μεθόδοις ἐχρώμεθα παραινοῦντες, ἀντιβολοῦντες, ἔστιν ὅτε κατονειδίζοντες, οὐδὲ τὴν εἰς αὐτὸν ἄφιξιν ὑπὲρ

1 παρὰ φαῦλον] παραφαῦλον M | 12 μαθητιῶσι] μαθητειῶσι M | 28 ἐχρώμεθα] ἐχθρώμεθα M

τῶν ἐξ αὐτοῦ κακῶς πασχόντων ἀπαναινόμενοι, τὸ δυσχερὲς ἡμῖν καὶ ἀξύνηθες. θὴρ γὰρ ἄντικρυς ἄγριος ἦν, τὰ τῶν ἀνθρώπων ἀφαρπάζων μεθ' ὅσης τῆς ἰταμότητος. καί ποτέ οἱ προσηγγελμένου Νικαέως τινός, ἀναγνώστου τῆς μητροπόλεως, ὅτι χρυσὸς αὐτῷ δαψιλὴς εἴη, κατέχει τὸν προσηγγελμένον ζητῶν τὸν χρυσόν. καὶ ἡμεῖς ἀκηκοότες μειλίχια πρὸς αὐτὸν διαπέμπομεν, ὡς ἂν τὸν κληρικὸν τῆς ἀκρίτου λύσηται κατασχέσεως. τοῦ δὲ κατὰ νώτων θεμένου τὰ διαμηνυθέντα κατ' ἀνάγκην ἡμεῖς αὐτοὶ πρὸς αὐτὸν ἀφικνούμεθα.

XVIII. *Καὶ πρὸς τὴν ὑφεδρίαν χαριεντιζόμενον* ⟨αὐτὸν⟩ εὑρηκότες — δαιμονῶντα γὰρ ὡς ἡδύν τινα περιζώσασθαι ξίφος ἐγκελευσάμενος ἀνιέναι τε καὶ κατιέναι καὶ τοὺς ὑφεδρεύοντας ἐκδειματοῦν αὐτὸς ἀνεκάγχαζε — πόρρω ποι κεκαθικότες τῆς τοσαύτης ἀβελτηρίας διὰ τὸν ἀδικούμενον ἠνειχόμεθα, τὴν αὐτῆς περάτωσιν ὡς ἂν ἐξευμενίσαιμεν τῷ ἀνθρώπῳ τὸν θῆρα μένοντες. ἐν ἀκαρεῖ γοῦν ἐξελκύσας τοῦ κουλεοῦ τὸ ξίφος ὁ δαιμονῶν κατὰ τῶν ἐμῶν ὠθεῖ σπλάγχνων ἐς αὐτὴν τὴν λαβήν. καὶ οἱ μὲν ἀνέστησαν ἅπαντες. ἐπὶ | τῷ fol. 224r γεγονότι τεθαμβημένοι, τεταραγμένοι, περιαλγεῖς, καὶ τὴν πληγὴν ἀνηρεύνων καὶ τὸν θάνατον ἐφαντάζοντο. πολυπραγμονήσαντες δὲ κατανοοῦσιν ὑγιῆ τε καὶ ἄτρωτον τὸν αὐτίκα θνήσκειν διὰ τὸ τῆς πληγῆς καιριώτατον προσδοκώμενον, αὐτῆς τῆς ὁράσεως ἐναργῶς πιστουμένης τῆς τε τοῦ ἐπιβλήματος διατμήσεως, ἐς μέσην γεγονυίας τὴν τοῦ θώρακος ἐπιφάνειαν, τῷ μεγέθει προσεπιμαρτυρούσης. τὸ ξίφος ὅλον ἐσδιελήλατο· ποῖ διακεχωρήκει; μὴ συνέσταλτο, μὴ ἀποτέτμητο καὶ αὖθις συνεπεφύκει·

12 ⟨αὐτὸν⟩ om. M

ἡ μὴν ὑφάντωτο κἄπειτα κεκαινούργητο; μόνος ὁ ‹τὴν› ψυχήν μου παραδόξως ἀπὸ ῥομφαίας ῥυσάμενος καὶ τοσαύτης αὐτὸς ἀνενέργητον ὅπως ἐπίσταται.

XIX. *Πυνθανομένων* δὲ τῶν παρόντων δι' ὃ τοῦτο δέδρακεν ὁ δαιμονῶν εἰς τὸν μηδὲν ὅλως ἐπηρεάσαντα, μὴ γέλωτα παρενδειξάμενον ἄχρι καὶ μειδιάματος, μὴ ῥῆμα προέμενον κἂν γοῦν τὸ βραχύτατον, αὐτὸς ἐμὸς κακὸς ἐχθρὸς ἀπεκρίνατο· 'καὶ διηπειλεῖτο καὶ διελοιδορεῖτό μοι βλέπων ἐς πρόσωπον.' ἐγὼ δ' οὐδέποτε σύνοιδα παρ' ὅλην ἐμὴν βιοτήν, ὅσῃ διέδρα μέν. ὡς ἑωράκειν αὐτόν. τότ' ἔγνωστο δαιμονῶν ὁ τοιοῦτος· παιγνιώδης γὰρ ὑπείληπτο πρότερον. λύεται δὲ καὶ ὁ τῆς ζάλης ἐπώνυμος ἢ φερώνυμος, ὁ παρενθήκην γενικῆς φέρων πρώτης ἀντωνυμίας, ἀλογοπραγήτως τὸν κατεχόμενον, τῇ τερατουργίᾳ διαπεφωνηκώς. ἡμεῖς δ' οὔτ' ἐξ αὐτοῦ θέλοντος ἀποτῖσαι τὴν χάριν οὔτ' ἐξ ἄλλου λήψεσθαί τι διενοησάμεθα· τοῦτο δ' ἂν εἴη κακίας τινὸς ἔκκλισις, οὐ κατόρθωμα. πλὴν τῶν ἐγνωσμένων καὶ τοῖς ἐξηυτελισμένοις δούλοις θεοῦ. πᾶς γὰρ θεῷ δεσποζόμενος δῶρα ἐπ' ἀθῴοις οὐκ ἔλαβεν. ἐστὶ δὲ τοῦτο, καθὼς ἐν τῷ περιέχοντι τὸ ῥητὸν ψαλμῷ διασεσαφήκαμεν, οὕτω νοούμενον· δῶρα ἐπὶ πράγμασιν ἀναιτίοις, ἐν οἷς οὐ δικαία τις αἰτία δωροληψίας, οὐκ ἔλαβεν οὐ δικάζων, οὐ διανέμων, οὐ χρημάτων ἐγχειρίζων ἢ τροφῶν πορισμούς, οὐκ ἀξιώμασι μεσιτεύων, οὐκ ἐκλογὰς ἀρχόντων ποιούμενος, οὐ κινδυνεύοντι βοηθῶν, οὐκ ἐκ χειρὸς ἁρπακτῆρος τὸν καταδυναστευόμενον ἐξαιρούμενος, οὔτε τι ἕτερον εἴς τινα διαπραττόμενος ἀγαθόν· ἀθῷα γὰρ ταῦτα πάντα καὶ ἀναίτια δώρων τὰ πράγματα. διότι προῖκα δικαίους ἡμᾶς εἶναι χρεὼν καὶ συμπαθεῖς καὶ χρηστούς.

1 ‹τὴν› om. M | 10 διέδρα μέν] διέδραμεν M | 22 διασεσαφήκαμεν] διεσαφήκαμεν M

XX. *Οὕτω* κἂν τῷ Νυμφαίῳ τὴν αὐτὴν ὑπηρεσίαν ἐκπληροῦντες πεπολιτεύμεθα. κἀκεῖ γὰρ ὑπὸ τοῦ πατριάρχου καὶ τῆς συνόδου τὰ τῆς ἱεραρχίας διεξάγειν τοῦ ἱεραρχοῦντος οὐκ ὄντος τετάγμεθα· ὅτε καὶ πολλοῖς ἀηδὲς ἔργον ὑφ' ἡμῶν ἐκτετέλεστο. | τὸ δ' ἦν τὸ f. 221v
τοὺς τῶν ἱερωμένων νόθοις βεβηλωθέντας συνοικισμοῖς — πολλοὶ δὲ καὶ πρὸ πολλοῦ — τῆς ἱερατείας παυσαμένους, μεθ' ὧν κατείλιξαν ἑαυτοὺς ἐξετάζεσθαι. τότε καί τις τῶν οὐκ ἀσήμων, τῆς ἐν κόσμῳ πλατυκῶς λεγομένης εὖ ἔχων παιδεύσεως γνῶσιν, εὐγλωττίας καὶ λοιπῆς δεξιότητος μέτοχος, προλειποτακτήσας ἐκ μοναστῶν καὶ τούτων τελείων ὑποκρυψάμενος τὸ σχῆμα καί πως μεταμειψάμενος συνῳκηκέναι γυναίῳ προείλετο. καὶ τῆς συνοικήσεως ὁ καιρὸς εἰς ἐνιαυτοὺς εἴκοσιν ἢ ὡς ἔγγιστα παρατέτατο. πολλὰ κἀντεῦθεν ἐσχήκει τέκνα, καὶ οὐδεὶς ἐπεσκέψατο. τοῦτο δὴ γνόντες ἡμεῖς παρακαλοῦμεν ἀμελλητὶ τὴν ἐπιστροφήν. ὁ δ' ἐχλεύαζε καὶ περιιὼν διεκερτόμει, καὶ οἱ ἐν ὑπεροχαῖς, πρὸς οὓς τοὺς ἡμῶν διεξεφέρετο λόγους, τῆς ἡμετέρας ἀπραγμοσύνης ἐς πολὺ κατεμέμφοντο. καὶ ἡμεῖς παρακαλοῦντες οὐ διελείπομεν. ἐπεὶ δὲ μηδὲν ἀνύοντες ἐκ τοῦ παρακαλεῖν ἀφορισμῷ καθυποβεβλήκαμεν αὐτὸν προελέγξαντες, — ἐπιτιμῆσαι γὰρ ἄλλως οὐκ ἦν, — ἀραῖς καὶ λοιδορίαις ἀντικαθυποβάλλει τοὺς οὕτω δράσαντας, καὶ ἦν ἡμῖν ἔκτοτε χαλεπὸς καὶ ἀτίθασσος.

κωμῳδει
21 διεκερτόμει] διεκερτόμει pr. m. M | 23 κατεμέμφοντο] κατεμέμφετο M

XXI. Ὅθεν ἐκ τῶν ὡρισμένων ἐμηχανήσαντες εἰς ἑτέρας διαπειλήσεις προκεχωρήκαμεν. τίς γὰρ οὐ κατεγέλα τότε τῆς ὡς ἐδόκει ματαίας ἐνστάσεως; τίς οὐκ ἐμυκτήριζεν οὓς ᾤετο πραγμάτων ἀνηνύτων ἐπιχειροῦντας; ἀλλ' οὐχ ὑπεχάλα τὸν τόνον τῆς ἐπισπεύσεως ὁ τῶν πολλῶν μυκτηρισμὸς καὶ καταγέλως. διὸ καὶ πᾶσαν ἄλλην ἀπαγορευσάμενοι μέθοδον, τὰ μοναχικὰ προετοιμασάμενοι ἀμφία, τὸν θεὸν ἐπικεκλημένοι συλλήπτορα, πανηγύρεως ἀγειρομένης ἄνδρας ἐξαποστέλλομεν τὸ σκληρὸν πληροφορήσοντας καὶ ἀνένδοτον, ὡς ἐν μέσῃ τῇ πανηγύρει θριαμβεύσαντες αὐτὸν εἰς τὴν προτέραν τάξιν ἐπαναγάγωμεν κἂν μὴ βούλοιτο. θεὸς δὲ τὸν ἡμέτερον μόχθον ἰδὼν κατανύσσει τὸν ἄτεγκτόν τε καὶ ἀτεράμονα· καὶ σαρκικὴν προσπάθειαν πᾶσαν οὗτος ἀπανηνάμενος τὰ μοναχῶν ἀμφιέννυται καὶ μάνδρᾳ πνευματικῇ τῇ τῶν ἄλλων ἀρχούσῃ προθύμως εἰσάγεται καὶ πόνοις ἀσκητικοῖς ἐξιλεοῦται τὸν κύριον ἐπὶ τοῖς προηγησαμένοις ἕως ζωῆς τέρματος. κἂν ταῖς εὐχαῖς οὓς ἠρᾶτο προτίθησι καὶ οὓς ἐκακηγόρει πολλαῖς εὐλογίαις ἀντιδεξιοῦται, καὶ παρρησίᾳ τοὺς ὀφθαλμοὺς αἴρων καὶ τὰς χεῖρας ἀνέχων πρὸς οὐρανόν, ὅτ' ἐντεθύμητο ποῖ μεταβέβηκεν ὅθεν, τοῖς βιασαμένοις ἐξῃτεῖτο σὺν δάκρυσι τὰ σωτήρια· καὶ τοσοῦτος γέγονεν εἰς εὐμένειαν | (225r fol.) καὶ στοργήν, ὅσος ἦν εἰς ἀπέχθειαν καὶ δυσμένειαν. καὶ ὁ τῆς ἱερᾶς ἐκείνης μάνδρας ἡγήτωρ σὺν ὀπαδοῖς καὶ τὸ καταμωκώμενον ἡμῶν τοῦ φροντίσματός τε καὶ ἀγωνίσματος, ἐκπληττόμενον τὴν μεταβολήν, ἀνθωμολογοῦντο θεῷ, τὸ μὲν διὰ τὴν ἐπιστροφήν, τὸ δὲ καὶ διὰ τὴν τοιαύτην ὁσιο-

6 καταγέλως] κατάγελως M | 19 ἠρᾶτο] ἠρᾶτο M

πρέπειαν. δι' ἣν καὶ τὴν λοιπὴν ἱκανότητα τῶν ἐν ἄλλαις μοναῖς παροραμάτων ἐκ τῆς ἀρχούσης ἐρευνητὴς ἐπικρίνεται. διδάσκομαι γοῦν ἐντεῦθεν μὴ κατοκνεῖν ἐν τοῖς ἐπωφελέσι, μὴ κατολιγωρεῖν, μὴ νωθεύεσθαι. τίς ⟨δ'⟩ ἀξίως μεγαλυνεῖ τὴν τοῦ κυρίου χρηστότητα καὶ σοφίαν καὶ θαυμαστότητα;

XXII. *Πολὺς παρῳχήκει καιρός· καὶ τὴν ἐς λόγους ἐπιμέλειαν τοῦ ὑπηρετήματος ἐπικόπτοντος, ἐπεὶ τῶν ἱερῶν ἀνακτόρων ἅπαν ἐξεκέκριτο βέβηλον καὶ ζιζανίων ἐγεγόνει τῶν ἐς βάθος ἐκρίζωσις καὶ εἴ τι δύσεργον εἴργαστο — τἆλλα δ' ἦν εὐμαρῆ καὶ τῷ μὴ πάντῃ ἀναπεπτωκότι — διὰ πυκνῶν παραιτούμεθα τὸν πατριάρχην ἐπιστολῶν ἐγκαταστῆσαι τοῖς ἐκεῖ ποιμένα καὶ ἡμᾶς ἀπολῦσαι πρὸς τὰ συνήθη. καὶ ἦν ἀκλινὴς ἐς μακρόν, τῆς τῶν ἐνεργουμένων φήμης ταῖς ἡμῶν ἀντιβαινούσης αἰτήσεσι· τέως δ' οὖν ταῖς ἐπαλλήλοις ἐκβεβιασμένος ἐπείξεσιν ἐκπεραίνει μόλις τὸ ἡμῖν καταθύμιον. καὶ ἡμεῖς ἐς Λέσβον ἀναδιφήσεως εἵνεκα τόπων ἡσυχίας ἀπαίρομεν. ὁ γνοὺς ἐπιπέμπει μετακλήσεως ἡμῖν ἐπιστόλιον, μὴ πεπεισμένοις ἐπιτίμησιν διαπειλησάμενος, καὶ πάλιν ἡ Νικαέων τοὺς ἀλλαχόσε τρέχοντας δέχεται. κἀπειδὴ τῆς προηγησαμένης ταραχῆς τε καὶ σκυθρωπότητος ἐκ τῆς ἐπιγενομένης αἰθρίας οὐκ ἴχνος, οὐ τύπος, οὐ μνεία τις λέλειπτο, τιμὴ πᾶσα πλέον ἢ πρότερον, καὶ ὁ διττὸς κλῆρος, ἶσοι διατεθειμένοι τὰς γνώμας, εὐμενῶς προσίενται καὶ στέργουσι πόσον ἂν εἴποι τις.

XXIII. *Οὐκ ὀλίγου διερρυηκότος χρόνου, πρὸς τὸν ἡσύχιον ὁρῶν βίον ὁ πατριάρχης ἡμᾶς ἀποκλίνοντας οὐ-

5 ⟨δ'⟩ om. M | 24 τιμὴ] τιμᾷ M | 27 τις] τίς M

κέτι μὲν ὡς πρὶν ἀντισπᾷ. τὸ βίαιον ἐν οἷς οὐ χρεὼν εὐλαβούμενος, ἀναβάσεσι δὲ καὶ ὑψώσεσιν ἐν βραχεῖ σεμνῦναι καθυπισχνεῖται μὴ τὴν τάξιν ἀμειψαμένους. ἀλλ' ἡμεῖς καὶ ταῦτα καὶ εἴ τι πλέον τῶν τοιούτων ἐχόμενον σκιᾷ παρερχομένῃ ταχέως εἰκάσαντες τὴν ἐκ τοῦ κόσμου fol. 225v τελείαν μελετῶμεν ἀπόρρηξιν, καὶ πρὸς μὲν τὰς προτάσεις οὔτε κατανεύομεν οὔτε μὴν ἀνανεύομεν, ἐλπίδας διασκέψεως ὑποτείνοντες. πρὸς δὲ τὸ Λάτρον χωρήσαντες ἐν τοῖς Δυσὶ Βουνοῖς ἡσυχάζομεν, μηδὲν εἰς ἑαυτοὺς καινουργήσαντες. ἐπεὶ δ' ἥκει τῆς Ἀσιάτιδος ἀρχιποίμην ὁ Μανασσῆς, ἐν ἀσκήσει πολυετής, λόγῳ καὶ πράξει κεκοσμημένος, μεταχωροῦμεν πρὸς Ἔφεσον· καὶ αὐτῷ κεχρημένοι προϊσταμένῳ πρὸς τὴν μοναχικὴν ῥακενδυτοῦμεν ἐς ἔτη δύο, μηδὲ πρότερον ἀποξενωμένοι τοῦ ῥάκους παντάπασιν, ὡς ἀζυγίᾳ καὶ διαίτης συμπαρεπομένου λιτότητι. κἄπειτα τὸ τέλειον ἐσάπαξ σχῆμα δεχόμεθα, μήτε βαθμοὺς μεμαθηκότες μοναχικῆς μήτε κατὰ τὴν καινοποίησιν μεταποιησάμενοι τοὔνομα. μεθ' ἡμέρας ὀκτὼ τὸ τῆς ἱερωσύνης χρῖσμα καὶ εἰς ἡμᾶς, τὸν αὐτὸν ἔχοντας ἀρχιποίμενα καὶ τῆς μοναχικῆς καὶ τῆς ἱερατικῆς τελεσιουργόν, τῆς μὲν ἐν τῷ ὑπερῴῳ τοῦ Σωτῆρος ναῷ τὴν ἱερὰν θυσίαν καὶ ἀναίμακτον αὐτουργήσαντα, τῆς δέ, τῆς ἱερατικῆς, ἐν τῷ μεγάλῳ τῷ καὶ τὸν ἀποστολικὸν τύμβον καὶ τὸν θρόνον συμπεριέχοντι. τότε τὴν ἡμετέραν βιοτὴν ἐτῶν ὀκτὼ περίοδοι κατεμέτρουν ἐπὶ τριάκοντα· δέκα γὰρ ἐνιαυτοὺς ἐν τῇ κληρώσει καταδεδαπανήκαμεν οὐ πολλοῦ δέοντος.

XXIV. Καὶ πάλιν κἀπὶ τὸ μᾶλλον ὄρη περιεσκοποῦμεν καὶ σπήλαια καὶ παντελοῦς μονώσεως ἔρως εἶχεν ἡμᾶς. ὅθεν καὶ πρὸς τὴν ἔφεσιν ἀντιβολοῦμεν ἐπινεῦσαι τὸν προϊστάμενον. οὗ γεγονότος, πρὸς τὴν Ἴδην ἀναχωροῦμεν καὶ ταύτην περιπολοῦντες κατὰ καιροὺς μεμονωμένοι νύκτα καὶ μεθ' ἡμέραν ἐχαίρομεν. καὶ ἦν ἡμῖν πρὸς τρόπου τὸ ἀκοινώνητον καὶ τὸ μηδένα καθορᾶν περισπούδαστον, καὶ τρυφὴ καὶ τέρψις τὸ ἀσυνδύαστον. ἐπεὶ δ' ὁ προϊστάμενος ἐξ βασιλέως ἐν ταῖς τῆς Ἴδης ὑπωρείαις σκηνουμένου φοιτᾷ καὶ ἡμεῖς πρὸς αὐτόν, διὰ τῆς ἀφίξεως ἀφοσιούμενοι τῷ καθηγεμόνι τιμήν, ὑφηγήσεσιν αὐτοῦ παρορμώμεθα παλιννοστῆσαι πρὸς τὰ κατ' Ἔφεσον | fol. 226r καὶ τὴν ποθουμένην ἡσυχίαν αὐτοῦ συνεργοῦντος εὑρεῖν. ὅθεν καὶ πρὸς ἐκεῖνο τὸ φροντιστήριον. ἐν ᾧ καὶ ἡ τῆς παλαιτέρας ἐσθῆτος ἀποβολὴ καὶ ἡ τῆς καινουργηθείσης εὐχαῖς τοῦ προϊσταμένου περιβολὴ καὶ ἡ προγυμνασία καὶ ἡ μετὰ ταύτην σκήνωσις, αὖθις ἐπάνιμεν· Παξαμάδιον τὸ φροντιστήριον ἐπεκέκλητο. καὶ παιδίον γηραλέαν αὐχοῦν σύνεσιν, ὑφ' ἡμῶν ἀνηγμένον πνευματικῶς, ὑφ' ἡμῶν τὴν μονήρη δεδεγμένον ἀρχήν — Πέτρος ὠνόμαστο — προσλαβόμενοι, κἂν τοῖς ἐκτὸς ὑπηρέτην ῥωμαλεώτατον καὶ παλαμναιότατον, Κοσμᾶν ἠγορευμένον, ἑτέρωθεν καὶ τὴν ἀναγωγὴν ἐσχηκότα καὶ τὴν μετένδυσιν, σὺν τοῖς δυσὶ καὶ μόνοις οἰκοῦμεν τὸ φροντιστήριον. ἦν δ' ὁ Κοσμᾶς πολλῶν ἐκ θεοῦ δι' ἡμῶν εὐεργετημάτων εὐμοιρηκώς. ἀλήτης γὰρ καὶ γεγυμνωμένος καὶ ὑπὸ τῆς ἐνδείας καὶ τῆς ἄλλης κακουχίας ἐκτετηκὼς καὶ δι' ὅπερ ἔφερε πάθος πολλοῖς ἀποτρόπαιος εἰ μὴ καὶ πᾶσι προσείληπτο. τῆς ῥινὸς ὅτι περ ἀποτετμημένης αὐτῷ καὶ μετὰ τὴν ἀπότμησιν τῆς πληγῆς ἐπικεκαυμένης καὶ δυσειδέστατα

19 χρῖσμα] χρίσμα M | 26 περίοδοι] περίοδον M

τῶν μυκτήρων συμπεφυκότων τὰ δι᾽ αὐτῶν ἐς τὸ στόμα διὰ τῶν ἐν ὑπερῴᾳ πόρων ἐδέχετο· καὶ ὅσα εἰκὸς πρὸς τὸ κρεῖττον αὐτῷ διὰ τῆς ἡμετέρας ἐπιμελείας μετήμειπτο κἀγὼ χερσὶν οἰκείαις νοσαζομένῳ προσεχῶς ὑπηρέτησα καὶ τῆς νόσου βαρείας οὔσης καὶ σηπεδονώδους αὐτῷ προσεγγίζων ἀφορήτου δυσωδίας ἐμπέπλησμαι. διά τοι ταῦτα πλέον ἄλλων αὐτῷ τεθαρρήκειμεν.

XXV. Εἴχομεν οὖν ὅσον ἡμῖν βουλητὸν τὸ ἡσύχιον, πολλῆς τῆς εἰς αὐτὸ συνεργίας καὶ τῆς ἄλλης προμηθείας ἐκ τοῦ προϊσταμένου καταξιούμενοι. τότε γοῦν ὁ πολέμιος εὔθετον ἑαυτῷ καιρὸν εὑρηκὼς ὀτρύνει τὸν ἀλωάδην ἐκεῖνον ὑπηρέτην καὶ ὑπερήνορα, ἵν᾽ ἡμᾶς — ἠσθενοῦμεν δὲ κἀγὼ καὶ τὸ παιδίον — διαχειρίσηται. συνέπραττε δέ πως τῷ μὴ σθένειν καὶ ὁ καιρός, ἐπεὶ τῶν πρὸ τοῦ πάθους ἦν νηστειῶν τοῦ δεσποτικοῦ. καὶ δὴ τὴν ἀναιρέτιν ἑτοιμασάμενος μάχαιραν ὁ Κοσμᾶς, εὐμεγέθη τε καὶ νεότευκτον, — ᾔδει δέ με τοῦ καταγωγίου μέσης ἐξιόντα νυκτὸς ἢ καὶ προϊούσης τοῦ μέσου καὶ τὰς ἑωθινὰς ἐντεύξεις ἐν τῷ ναῷ πρὸς τὸν δεσπότην ποιούμενον — καιροφυλακήσας καὶ τὴν ἔξοδον τηρησάμενος, ἐπείπερ ἐξῄειν, δράττεταί μου τῆς ἔμπροσθεν καὶ παραυτίκα ῥιπτεῖ με κατὰ γῆς ὕπτιον καὶ σφάττειν ἤρξατο μηδενὸς ὁρῶν-
[fol. 226v] τος. | μηδενὸς παρόντος ἐν βαθείᾳ σιγῇ. καὶ τὰ μὲν ὑπὸ τὸν ἀνθερεῶνα διέτεμε, καὶ κρουνηδὸν κατέρρει τὸ αἷμα, τὴν τοῦ πνεύματος δὲ διόδευσιν οὐ παρακεχώρηταί οἱ διαλυμήνασθαι. διὸ καὶ λαλῶν καὶ τὰς εὐεργεσίας ὑπομιμνήσκων καὶ ὡς οὔποτ᾽ ἀπευκταῖον εὕρατό ποτ᾽ οὐδὲν ἐν ἡμῖν οὐ διέλειπον. ἀκούων δέ

12 ἀλωάδην] ἀλωάδην M

μου λαλοῦντος ἐξεμαίνετο καὶ ἰσχυρότερον ἔπληττεν ἐπέγρυξέ τε τοῖς πλήγμασιν ἐμφαίνων τὸ βίαιον. κἀγὼ πολλαῖς αὐτὸν ὑποσχέσεσι καὶ ὡς ἀποκρύψομαι πληροφορῶν τὸν τῆς σφαγῆς αὐτουργὸν ἐπειρώμην ἐξημεροῦν. ἐς χάος δ᾽ ἐλάλουν καὶ πρὸς βυθὸν καὶ ἀνέμῳ προσωμίλουν καὶ λίθῳ καὶ σιδηρῷ διελεγόμην. ὁρῶν γὰρ ἐκεῖνος ὡς οὐκ ἰσχύει διὰ τοῦ τῆς μαχαίρας ὠθισμοῦ τὸ σπουδαζόμενον ἐξανύσαι, ταύτην ἀνέχων ὑψοῦ κατέφερε σφοδρὰς καὶ πυκνάς. ἐν τούτοις πολὺ τῆς νυκτὸς διερρύη, καὶ ἀνενδότως εἴχετο τοῦ σπουδάσματος. τότ᾽ ἐγὼ τῆς ἐν γῇ ζωῆς τέλεον ἀπογνοὺς ἐμαυτὸν ἄρας τοὺς ὀφθαλμοὺς ἄνω πρὸς οὐρανόν — ὕπτιος γὰρ ἐρριμμένος ὡς ἔφην κατεσφαττόμην — οὕτως ἐβόησα πρὸς τὸν θεόν· ʽὑπὲρ τῶν ἁμαρτιῶν μου, κύριε, δέξαι τὸ αἷμά μου᾽. καὶ τὴν ἐμὴν εὐθὺς δεξιὰν τὸ τῆς ἐμῆς ἀναιρέσεως ὅπλον ἐπιγινώσκω κατέχουσαν· ὅπως ἐγχειρισθὲν οὐκ εἰδὼς οὐδ᾽ ἔχω εἰπεῖν. καὶ ὁ φονουργὸς πιέζων ἐπέκειτο μὴ λιπεῖν ὅλως με προθυμούμενος.

XXVI. Καὶ ὁ πολέμιος ἐς ἄλλην τρέπεται μηχανὴν καὶ κατ᾽ αἴσθησιν οὐ λογισμοῖς ἀλλ᾽ ἀκουστῶς ἔμοιγε φθέγγεται· ʽπλῆξον αὐτὸν τῇ μαχαίρᾳ κατὰ γαστρὸς ἐπαλλήλοις πεντάκις ἑξάκις σφοδρῶς, ἵνα πονήσας ἐάσῃ σε᾽. κἀγὼ πρὸς αὐτόν· ʽοὐχί᾽. καὶ αὐτὸς ἐπέμενε τοῖς αὐτοῖς, ἐγὼ δὲ διὰ παντὸς ἀνένευον καὶ ἀπέλεγον. ἦν δ᾽ ὁ κτείνων ἑνὶ καὶ μόνῳ περιβολαίῳ κἀκείνῳ λεπτοτάτῳ σκεπόμενος, ὡς ἂν οἶμαί τινων ἐπιδιωξάντων, αἰσθομένων τοῦ δράματος, εὐχερῶς ἔχοι διαφυγεῖν, καὶ μή τοι πεντάκις ἑξάκις κατὰ γαστρὸς ἀλλὰ καὶ ἅπαξ πληγεὶς οὐκ ἂν διέδρα τὸν ὄλεθρον, — πῶς γὰρ ἄλλως ἡ φύσις ἐδίδου γενέσθαι; — καὶ οὐκ ἂν ἐπό-

νησε μόνον ἀλλά γε δὴ καὶ διέφθαρτο. τούτοις ἡμῶν καὶ τοῦ πονηροῦ διαμιλλωμένων καὶ τοῦ μὲν ἐπείγον-τος ἵν᾽ ἀνέλωμεν, ἐπείπερ οὐκ ἀνῃρήμεθα, καὶ χείροσι περιπέσωμεν, ἡμῶν δὲ τὸν ἐπείκτην ἀποπεμπομένων, ἵνα μὴ τὸν δεσπότην καὶ καθηγητὴν καὶ βοηθὸν fol. 227r παροργίσωμεν, ἐφίσταται τὸ παιδίον ὁ Πέτρος, μὴ πρότερον ἐπιστάς, ἐπεὶ κατήγετο πόρρω ποι καὶ τῶν γινομένων οὐκ ᾔσθετο. ἐπιτάττεται τὸ λοιπὸν ἑλκύσαι καὶ μὴ δεδοικέναι τὸν ἐπικείμενον, ὡς παρ᾽ ἐμοὶ τὴν μάχαιραν οὖσαν οὐκ ἔχοντα. κατέχει τοίνυν αὐτὸν ἐκ τῶν ὄπισθεν καὶ μόγις ἕλκει μικρόν. καὶ ὃς εὐθὺς ἐκκρούεται τὸν ἑλκύσαντα καὶ πὺξ τῶν πεπληγμένων μερῶν καθικόμενος ἄλγος ἐπιφέρει βαρύτερον ἢ ὅτε κατέσφαττεν. εὐτονωτέροις οὖν λόγοις ὁ Πέτρος ἐπιρ-ρωσθεὶς ἀφίστησι τὸν τοσοῦτον, θεοῦ πάντως ἰσχὺν καὶ θάρσος παρέχοντος. ὅθεν βιασάμενος ἐμαυτὸν μετὰ πολλῆς δυσχερείας ἐγήγερμαι, καὶ ὁ μὲν Πέτρος ἐκ τῶν ὤμων ὄπισθεν ὃν εἵλκυσε κατεῖχεν ἀμφοῖν ταῖν χεροῖν. ἐγὼ δ᾽ ἐκ τῶν στέρνων ἔμπροσθεν τῇ λαιᾷ. καὶ ἡ δεξιὰ διατέτατο τὴν μάχαιραν φέρουσα. καὶ ὁ τῆς κακίας καὶ πρωτουργὸς καὶ δημιουργὸς ἤπειγεν ἐναργῶς καὶ πλέον ἢ πρότερον πεντάκις ἑξάκις τὸν ἀλιτήριον πλῆξαι κατὰ γαστρός. ἐγὼ δ᾽ ἐπεφώνουν· ‘οὐχί’. καὶ μέγας ἦν ὁ ἀγών, ἕως ὁ σφαγεὺς ἀπολυθῆναι πρὸς φυγὴν αἰτησάμενος ἀπολέλυτό τε καὶ διαπέφευγεν, οὐδὲν ἄλλο παρ᾽ ὅλην τὴν δραματουργίαν φθεγξάμενος. ἐμνήσθημεν τῆς τοῦ δαιμονῶντος διατειλήσεως.

XXVII. Ὁ μὲν οὖν Κοσμᾶς ἀπέδρα πορρωτάτω μετὰ σπουδῆς. τὴν ἐπὶ τῷ δίκας εἰσπράξασθαι τοῦ

20 φέρουσα] φέρουσαν M

τολμήματος ἀναζήτησιν δεδιώς. οἱ δὲ συμπλάττειν ἠσκη-κότες ἀνύπαρκτα καὶ ψευδολογεῖν τοῖς περὶ ἡμᾶς αὐ-τὸν ὁρᾶσθαι μέρεσιν ἐνδιατρίβοντα διετείνοντο καὶ ξίφος καὶ τόξον καὶ βέλη περιφερόμενον φάσκειν τοῖς ἐντυγχάνουσιν, ὡς οὐκ ἄν, εἰ μὴ τὸν τὰς αὐτοῦ διαδράντα χεῖρας ἀνέλοι, τοῦ μόχθου παύσαιτο. τοι-αῦτα πρὸς χάριν ἢ πρὸς δέος λογοποιούμενοι τὸν ἐχθρὸν ὑπετίθουν φυλάττεσθαι. διά τοι τοῦτο πολλοὺς διερευνησάμενοι τόπους ταῖς τοῦ κρατοῦντος συνάρ-σεσιν εὑρήκαμέν ποτε τὸν θρυλλούμενον. καὶ γνόντες αὐτὸν τοῖς εἰσέπειτα διηγορουμένοις ἀνάλωτον κηδε-μονίας ἱκανῆς ἠξιώκαμεν. ἔκ τε τῶν κολάσασθαι προ-θυμουμένων ποιναῖς ἐξελόμενοι καὶ διατροφαῖς καὶ περιβολαῖς καὶ χρειωδῶν ἀπολαύσεσιν ἑτέρων δεξιω-σάμενοι· συνεῖναι δὲ καὶ πάλιν ἡμῖν ἐξαιτησαμένου. προσηκάμεθα καὶ ταύτην τὴν αἴτησιν. ἀλλὰ τοῦτο τοῖς μεθ᾽ ἡμῶν οὐκ ἦν ἀνεκτόν, | ἐπεὶ καὶ ἄλλοις συνῆμεν fol. 227v τὴν τελείαν ἀπαννηνάμενοι μόνωσιν· ὅθεν καὶ πρὸς τὴν τοῦ Θαυματουργοῦ, σιτήσεως ἔχοντες ἐκεῖ πορισμόν, οὐ πολὺ διεστῶσαν, αὐτὸν εἰσῳκίσαμεν, μήτε τοὺς ἡμε-τέρους βαρύνοντες κἀκείνῳ τὸ μὴ λελυπῆσθαι περι-ποιούμενοι. ἄνθρωπον δέ τινα διεβεβαιοῦτο συνομιλεῖν αὐτῷ χρόνον ἐπὶ πλατύν, οὐχ ὁρώμενον, αἰσθητῶς δ᾽ ἀκουόμενον, καὶ συνοδεύοντα, συσκηνούμενον, ἁπαν-ταχῇ συνδιάγοντα τὴν ἡμετέραν ἀδιαλείπτως ἀναγκάζειν σφαγήν, ἐς ὃ ταύτην τό γε εἰς αὐτὸν ἧκον ἐξαπηρτίσατο. καὶ τοὺς μὲν αὐτοῦ λόγους, εἰ καί τισί πως συνᾴδοιεν ὧν καὶ αὐτοὶ πεπειράμεθα πολυπραγμονῆσαι, μάταιον πάμ-παν ἡγήμεθα, διετεθείμεθα δὲ πρὸς αὐτὸν εὐμενέστερον,

29 ἡγήμεθα] ἡγήμεθα M, secundam η ex ου pr. m. corr.

οὐ πρός τι κατόρθωμα βλέποντες, ἀλλ' ἵνα τὸν βοηθὸν συνόντα διηνεκῶς ἐξ ἡμῶν οὐδαμῶς μακρυνόμενον οὐδ' ὅλως χωριζόμενον οὐδ' ὁπωσοῦν διιστάμενον ἔχοιμεν.

XXVIII. *Ἔκτοτε ποθοῦντας ἡμᾶς ἐν Ἱεροσολύμοις γενέσθαι καὶ πρὸς σῶμα καὶ πρὸς ψυχὴν ἐκ τῶν θεοψαύστων ἁγιασμὸν εἰσενέγκασθαι τόπων, ὅτε Ῥώμη τὸ κῦρος εἶχεν ἐν τούτοις, δυσκινησίας χρονίας ἴσχουσα νόσος ἀπείργειν νεανιεύεται· τῶν γὰρ νεύρων ἀποπαγέντων οἷον ἑτεροκίνητοι μᾶλλον ἦμεν ἢ αὐτοκίνητοι. πλὴν τοῦ ἐκ καχεξίας κωλύματος περιγεγενημένης τῆς προαιρέσεως ἀπαίρομεν ἐν ῥωμαϊκῇ τριήρει. καὶ χαλεπῆς ἐπισυμβάσης ἐν τῷ μεγάλῳ πελάγει δυσπλοίας καὶ συνεχῶς ἐπιτεινομένης, οἱ μὲν ἄλλοι τῷ πολυστρόβῳ ταράχῳ καὶ ταῖς τῶν κυμάτων ἐπαλλήλοις καὶ σφοδραῖς ἐπικλύσεσιν ἐδεδοίκεσαν περὶ τῇ ζωῇ καὶ κατεπεφρίκεσαν, ἡμεῖς δὲ καὶ μετρίαις θαλάττης ἐπαναστάσεσι περιδεεῖς εἶναι καὶ περίτρομοι πεφυκότες ὡς οὐδενὸς καινοῦ γεγονότος ἀπτόητοι διεμένομεν, ἐς ὃ τῆς εὐθείας ὑπὸ καταιγίδος καὶ θυέλλης παρασυρέντες καὶ λαίλαπος τὴν Τρίπολιν τεθεάμεθα κἀκεῖθεν τῇ Τύρῳ προσεπωκείλαμεν. εἶτα τῇ Πτολεμαΐδι πελάσαντες καὶ ταύτην ὑπερελάσαντες μόλις ἑωράκειμεν ὃ προὐθέμεθα καὶ τῆς ἐφέσεως τετυχήκαμεν. τότε τῇ τοῦ δεσποτικοῦ προσψαύσει τύμβου συντρέχοντα κατανοοῦμεν τὸν τοῦ κατέχοντος ὑποποδισμόν. ὡς καὶ πρὸς Ἰορδάνην ἀφιγμένοι καὶ λελουμένοι μετ' ἐπιθειασμῶν ἑπτάκις καὶ τῆς δι' Ἐλισσαίου μνείαν πεποιημένοι τερατουρ-* fol. 228r *γίας | ὀλίγιστον ὕδωρ ἐπερροφήκαμεν. συντονώτερον ἀπεδίδρασκε τὸ δεσμοῦν. τῷ κυρίῳ δὲ θυσίας ἐν τρισὶ*

29 κυρίῳ] κυρῷ Μ

προσαγηοχότες σηκοῖς, ἔνθα τέθαπτο καὶ οὗ γεγέννητο καὶ ὅποι τὸ τοῦ πανάγνου σκήνους ὑποδόχον σῆμα τῆς ἀρρήτως τετοκυίας αὐτόν, παλιμπλοοῦντες ἐν ὁμοίᾳ τριήρει παντελείως ἀπολελύμεθα. καὶ τὸ φροντιστήριον κατειληφότες ἡσυχίᾳ καὶ λόγοις, ἧττον τοῖς ἔξω μᾶλλον τοῖς ἔνδον, ἡρετισάμεθα προσανέχειν.

XXIX. *Ἀλλ' ὁ κρατῶν διὰ τὸ τὸν λόγον ἠτονηκέναι πέντε φοιτητὰς ἐς τὴν λογικὴν εἰσδέκτους ἡμῖν ἐποιήσατο, βίᾳ μετὰ πειθοῦς ἢ πειθοῖ μετὰ βίας χρησάμενος. ἐδίδου δὲ καὶ σῖτον, ἐδίδου καὶ χρυσίον, ἐτήσια καὶ ἄμφω. πλὴν ἀλλὰ ταῦτα παρωσάμενοι καὶ ἀποκρουσάμενοι προῖκα τῷ λόγῳ παρείχομεν ὡς οἷόν τε τὴν ἀνάρρωσιν. δύο δὲ τῶν ἐς λόγους φοιτώντων, ἀλογώτερον ᾑρημένοι βιοῦν, — ὁ μὲν ὠνόμαστο Ῥωμανός, ὁ δ' ἐπωνόμαστο Κρατερός — τῆς ἐπὶ τὰ φαῦλα ῥοπῆς ὡς θέμις ἀντεσπῶντο παρ' ἡμῶν νουθετήμασι, μὴ πειθόμενοι δὲ διηλέγχοντο. καὶ ἦν ἀνιαρὸν αὐτοῖς τοῦτο καὶ δόλοι διεμελετῶντο καὶ συνεσκευάζοντο μηχαναί. πῶς ἀντανιάσαιεν τὸν αὐτοὺς τῆς φιλουμένης βιώσεως ἀπάγειν πειρώμενον. τούτων οὕτως ἐχόντων καὶ περιὼν ὁ προϊστάμενος ἐξυπηρετηθεὶς παρ' ἡμῶν ἐς ὅσον ἐξῆν κἂν τῷ τέλει τὴν πνευματικὴν ἀντιτέκνωσιν καὶ τὴν ἐπικήδειον ἐπιμέλειαν αἰτησάμενος καὶ τὴν μὲν εἰληφώς, τὴν δὲ πιστωθείς, ὅλος γίνεται τοῦ κεκληκότος ἐν οὐρανοῖς τὸ βρῖθος ἐξαποθέμενος.*

XXX. *Καὶ ὁ Κρατερὸς τὴν ἐνοικουροῦσαν αὐτῷ δυσμένειαν ποιούμενος ἔκφορον πρόσεισι τῷ ἄρχοντι καὶ τὸν ἄμισθον παιδευτὴν ὡς ἐνοσφίσατο χρυσὸν ἐκ τῆς τοῦ μεταλλαξαμένου περιουσίας συκοφαντεῖ. καὶ ὃς ὀμόσε*

6 ἡρετισάμεθα] ἠρετισάμεθα Μ ‖ 25 βρῖθος] βρίθος Μ

πρὸς τὴν λῆψιν χωρεῖ, μηδὲν περὶ τῆς ἀληθείας πεφροντικώς, καίτοι πεπαρρησιασμένως τοῦ μεταβεβηκότος πεποιημένου τὴν τῶν ἐκείνῳ προσόντων ἀνα-θεώρησιν καὶ τὴν τῆς αὐτῶν διαδόσεως ὑποτύπωσιν ἐπ' ὄψει καὶ ἀκοῇ τῶν ἀξίων ἔν τε κλήρῳ καὶ λοιπῷ συστήματι καὶ λόγου καὶ πίστεως. παρῆν δὲ καὶ ὁ τῶν fol. 228v χρημάτων | ταμίας, καὶ τὸ ψεῦδος ἀνερωτώμενος ἐξεκήρυττεν. ἀλλὰ καὶ πάντες οἱ συνόντες ἀνεπιβάτους ἡμῖν πάντας τοὺς οἴκους πλὴν οὗ κατηγόμεθα καὶ μόνου διεμαρτύροντο· καὶ γὰρ οὐκ ἄλλο τι διὰ σπουδῆς ἢ τὴν τοῦ κάμνοντος ἐπίσκεψιν εἴχομεν. ὁ δὲ πᾶσαν τὴν νοσηλείαν ἐκτὸς τοῦ σφετέρου καταγωγίου διὰ τὸ τῶν προσιόντων πλῆθος ὑποφέρων ἐν εὐρυχώρῳ καὶ μηδ' ὁτιοῦν περιέχοντι τῶν ταμιευομένων κατέκειτο. πῶς οὖν ὁ χρυσὸς εἰς ἡμᾶς; ἆρα δι' ἀέρος ὥσπερ ὀσμή τις διαπεπόρθμευται; μὴ διὰ μαγνήτιδος ὡς σιδήρια; ἢ μάλιστά γε διὰ παντάρβης; ἀλλ' εἰς βυθὸν αὕτη καθιεμένη καὶ λίθους ἕλκειν λέγεται καὶ χρυσόν, τοῦ βυθοῦ τῆς ἀνοίας καὶ τῆς ἀλογίας τοῦ ἄρχοντος ⟨ὄντος⟩, ὡς ἀπαρεξέταστοι καὶ ἀξύμβλητοι.

XXXI. Τέως δ' οὖν οὔ τοι περισκοπεῖται τοῖς πλεονέκταις, οὔτ' ἔννουν ὄντως οὔτ' ἔλλογον, ἀλλὰ τὸ λαβεῖν αὐτοὺς ὁπωσοῦν καὶ νοῦν ἔχει καὶ λόγον τῷ τρόπῳ κατάλληλον. ὁ μὲν οὖν Ἱκανάτος. — τοῦτο γὰρ ἐπώνυμον τῷ τηνικαῦτα τὴν ἀρχὴν περιεξωσμένῳ — τὸν Πέτρον ὡς ἡμῖν οἰκειότατον κατασχὼν καὶ κατετάσας καὶ τὸ ἡμέτερον ἐξορωρυχὼς οἰκητήριον καὶ fol πάντα τὰ καθ' ἡμᾶς διερευνησάμενος σὺν ἀπηνείᾳ καὶ ἰταμότητι καὶ ὧν ἐζήτει καὶ ἀνεδίφα μηδὲν εὑρηκώς,

20 ὄντος] om. M

μηδὲν πορισάμενος, εἰ καὶ παρεξισουμένην ὀλίγοις εὐεξίαν εἰσῴκιστο καὶ εὐτραφίαν καὶ ῥώμην, ἀδόκητον εὕρατο παρὰ τοῦ δικαίου κριτοῦ καὶ παρὰ πόδας τὸν ὄλεθρον. ὄλεθρον χριστιανίζουσι ξύμπασιν ἄγνωστον. ἐπίπλῳ γὰρ περιειλησάμενος ἑαυτὸν ἐς κεφαλὴν καὶ μυκτῆρας καὶ στόμα καὶ αὐχένα καὶ στέρνα — τὴν αἰτίαν εἰδέτω μόνος ἐκεῖνος — οὕτως ἀπετινάξατο τὴν ζωήν. οὗ τῇ σορῷ τεθαμμένου κύων ἐπικείμενος μέλας προσήδρευεν ἄγριος, οὐκ ἐπιγινωσκόμενος οὐδενὶ μήθ' ὅθεν εἰσέδυ κατανοούμενος· ἡ τῶν Ἀναιῶν, ἐν ᾗ ταῦτα τετέλεστο, διεφημίσατο καὶ περιελάλησεν. οὕτως ἐνίοτε στηλιτεύει κἀνταῦθα τὴν παρανομίαν ὁ θεός — ὅτε καὶ ὅπως οἶδεν αὐτὸς ὁ μόνος σοφός — εἰς ἀτιμίαν τῶν μετ' αὐτῆς οἰχομένων καὶ τῆς αὐτοὺς ἐκδεχομένης αἰσχύνης πρόγραμμα, τῶν τε μενόντων ἔτι καὶ ταύτῃ συζώντων ἐκδειμάτωσιν καὶ διόρθωσιν.

XXXII. Ὁ δὲ Κρατερὸς ἐπιβεβιωκώς, ἐπικατωρθωκώς, προσηριστευκώς, ἐν ἀκμῇ τῆς ἡλικίας ἐν σώματι σφριγῶντι διέφθαρτο διαφθορὰν ἀσυνήθη τε | καὶ ξενίζουσαν· fol. 229r ἐν ὑγείᾳ κατεπτηχὼς καὶ καταπεπληγὼς σταθερᾷ καὶ παρακεκρουσμένος αἰφνηδὸν κατέστρεψε τὸ βιώσιμον. ὁ μέντοι Ῥωμανὸς ἑτεροτρόπως λαμπρύνεται. λοιδορίας γὰρ ἐκτόπους συνειλοχώς, ὡς δῆθεν ἀφ' ἡμῶν ἐς βασιλέα, καὶ γράμμασι διασημηνάμενος ἐμπαρέχει τῷ βασιλεῖ. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ πράξεις δόγμασιν ὀρθοῖς ἀπᾳδούσας ἡμῖν περιτίθησι. τῶν μὲν οὖν βασιλικῶς κατεξητασμένων, τῶν δ' ἐκκλησιαστικῶς ἀνατεθεωρημένων, καὶ παρ' ἀμφοῖν τοῖν δικαστηρίοιν ταῖς ὅλαις ὁμοῦ κατακρίνεται. παρὰ μὲν τοῦ μήποτ' ἐλεύσεσθαι

δ
9 οὐδενὶ] οὐθενὶ pr. m. M ‖ 10 Ἀναιῶν] ἀνεῶν M

μηδ' ὅλως ἐς ὄψιν βασιλικὴν ἢ χωρῶν τινων, ἐς ὃ ποιεῖται σκηνώσεις ὁ βασιλεὺς ἐν αὐταῖς, ἐπιβήσεσθαι, παρὰ δὲ τοῦ πόρρω πιστῶν εἶναι καὶ τῆς εὐσεβείας ἐκκήρυκτος. ἀλλὰ ταῦτα μὲν ὕστερον.

XXXIII. Τοῦ δέ γε προϊσταμένου παρὰ τὰς λοισθίους πνοὰς ἐν γῇ προκειμένου κατὰ μοναχοὺς ὡς ἐπέταξε — πᾶσαν γὰρ ἀπείπατο τιμὴν ἱεραρχικήν — ἱεροῖς τε λογίοις ὡς ἔπρεπε τῆς ὁσίας προπεμπομένης καὶ θεῷ καθιερωμένης ψυχῆς ἡμῶν τε τοῖς τοῦ ἱεροῦ σκήνους βλεφάροις δακτύλους ἐπιβαλομένων εἰς συγκλεισμὸν τῶν ὀμμάτων, ὡς ἐν τοῖς ἐκπνέουσιν εἴωθε γίνεσθαι, τὶς τῶν οἰκειακῶν ἐκείνου κατειλεγμένος ἐν διακόνοις, Λέων ἐπικεκλημένος Ἀδράλεστος, μήτε θεὸν δειλαινόμενος μήτε τὴν τῶν παρισταμένων καὶ τὰς προπεμπτηρίους ἀφιέντων φωνὰς πληθὺν αἰσχυνόμενος μήτε τὸν ἐκ τοσούτων ὑπολογιζόμενος ἔλεγχον μήτε τὸν θάνατον τέως γοῦν τὸ κοινὸν ὄφλημα τελούμενόν τε καὶ καθορώμενον εὐλαβούμενος πονηροὺς ἐξερεύγεται λόγους εἰς ἡμετέραν διαβολήν, ὡς οὐ φύσεως ἀκολουθίᾳ, βίᾳ δ' ἔξωθεν ἐκπεπνευκότος τοῦ τεθνεῶτος, μανιχαϊκῆς αἱρέσεως τόλμημα τοῖς ταύτην τὴν ἀθεότητα καὶ πᾶσαν ἄλλην διαστροφὴν ἐξ ὅλης ἀποτροπιαζομένοις ψυχῆς περιάπτων ἐπὶ κακῷ ἑαυτοῦ, καὶ τὴν συκοφαντίαν ἐν σκοτίᾳ ποιούμενος καὶ πρὸς τὸ οὖς τῶν εἰς τοιαῦτα χαιρόντων ὑπολαλῶν. ἀλλ' οὗτος μὲν ὑπὸ τοῦ τὸν περὶ οὗ ὁ λόγος διαδεξαμένου, Κωνσταντίνου ἠγορευμένου, Κλαυδιοπολίτου προσεπηγορευμένου, μὴ τόσον τὴν ἀλήθειαν ὅσον τὴν ἡμετέραν ἀτιμίαν καὶ πτῶσιν ἐκζητοῦντος, ποικίλως διὰ πολλῶν στροφῶν fol. 229v καὶ μεγάλης συντονίας | ἀνακρινόμενος ἐφ' οἷς εἴρηκεν ἔξαρνος γίνεται· τοσούτων γὰρ ὄντων εἰς ἐλεγμὸν τῆς

αὐτοῦ σκαιοτροπίας τί δρᾶν ἕτερον ἤμελλεν; οἷον δέ οἱ μετ' οὐ πολὺ καὶ τὸ τέλος ὁρατέον καὶ κατασφαλιστέον. ἑαυτοῦ ὅση τις δύναμις ἡμιόνῳ λακτίζεται καὶ εἰλεῷ συνέχεται καὶ τὰ δι' ἀφεδρῶνος διὰ στόματος δίεισιν. ὧν γὰρ ἐκεῖνος ἀδίκως προήνεγκε τὴν δυσωδίαν καὶ ἀπευκταιότητα διὰ τῆς παρὰ φύσιν ἐκκρίσεως δικαίως παρίστησιν.

XXXIV. Ὁ πρόσφατος δὲ ποιμήν, τοῦ καθ' ἡμῶν ἐπινοήματος διημαρτηκώς, ἐς ἀπαρακάλυπτον ἔχθραν ἀποθέμενος πᾶσαν ὑπόκρισιν τρέπεται, μὴ τοῖς αὐτοῖς ἐμπεριέχεσθαι καὶ ἀμφοτέρους ὁρίοις, ὡς ἔφησεν, ὁρισάμενος. ὅθεν τὸ κεκριμένον ἐμπεδοῦντες ἡμεῖς τὴν τοῦ Θαυματουργοῦ λιπόντες, ἐν ᾗ καὶ τὸ προσοικεῖν ἡμῖν καὶ τὸ κῦρος, οὕτω τοῦ προϊσταμένου τάξαντος ἐν ζωῇ μετὰ τοὺς κινδύνους ἐκείνους καὶ τὴν σφαγήν, ἐπὶ τὸ Πυθαγόρου σπήλαιον πρὸς Σάμον ἀπαίρομεν. ὃ γνοὺς ὁ κρατῶν ἐδυσχέραινε καὶ λόγοις ἱλαροῖς ἡμᾶς ἀνθελκύσαι τίθησιν ἔργον καὶ ἡμῖν μὲν τὴν προσοίκησιν τῆς μονῆς καὶ τὸ κῦρος διὰ θεσπίσματος ἀποδίδωσιν, ἀποτρέπει δὲ τὸν ἐπηρεαστὴν ἐπὶ τοσοῦτον, ὥστε μηδὲ τῆς ἐς αὐτὸν ἀγούσης ἐπιβαίνειν κἂν κατὰ δίοδον· καὶ τὸν ἱεραρχικὸν παράλογον ὅρον ὅρος ἔλλογος καθαιρεῖ κἀκ βάθρων ἀναμοχλεύει καὶ ἀφανίζει βασιλικός.

XXXV. Μετά τινας καιροὺς διαπεραιωθῆναι πρὸς τὰ δυτικώτερα προειλόμεθα χάριν ἐντυχίας ὧν οὔπω βίβλων ἐντετυχήκαμεν· καὶ πλοῖον εὐτρεπισάμενοι καί τινας εὖ εἰδότας τῶν κατὰ θάλατταν συλλεξάμενοι καὶ τὰ πρὸς διαπλοϊσμὸν ἐπιτήδεια κατὰ τὸ προσῆκον ἐνθέ-

3 ἑαυτοῦ] ἑαυτοὺς M | 4 εἰλεῷ] εἰλεῶ M | 22 ὅρος] ὅρος M

μενοι ὅλοι τοῦ προτεθειμένου γινόμεθα, μήποτε κεκωλυμένοι παρ' οὐδενὸς τῇ κομιδῇ τοῦ πλοίου θαμίζοντες. τοῦτο δ' ἦν στρατήγημα καὶ μηχάνημα τοῦ τε τὴν ἀρχὴν πεπιστευμένου, Καντακουζηνοῦ ἐπωνομασμένου, καὶ τοῦ τῶν αὐτῷ καθυπουργούντων λόγῳ μετὰ πολέας πρωτιστεύοντος· Ἀρχαῖος αὐτὸς ἐπεκέκλητο. τῷ πλοίῳ γὰρ ἐπεμβῆναι πελάζοντες ἐν φανερῷ, δείλης ἀρξαμένης ὀψίας, οὐ κλέπτοντες τὴν ἐξέλευσιν, ὁρῶμεν ἄνδρας ἐφ' ἵππων, ἑτέρους ἄνευ ἵππων. ἐκ λόχου προφαινομένους, οὕπερ ἐνήδρευον· ὧν Ἀρχαῖος ἡγεῖτο. καὶ τῶν σκεμμάτων ἐξῆρχεν ὁ τὴν πάγην ἡμῖν καὶ τὸ θήρατρον τεκτηνάμενος, | fol. 230r ὁ τοσοῦτον πρὸς τὸ πονηρὸν εὔτροχός τε καὶ πόριμος ὅσον πρὸς τἀγαθὸν ἠλίθιος καὶ ἀκίνητος. οἳ καὶ συσχόντες ἡμᾶς κἀν τῷ Γαλησίῳ περιορίσαντες αὐτοὶ πρὸς ἀνεύρεσιν ἐπείγονται τῆς ἡμετέρας, ὡς ᾤοντο, πολυολβίας, ἐκμυκτηρίζοντές τε καὶ διαπαίζοντες τῷ μὴ δεδολιῶσθαι μηδ' ἀπάτῃ κεχρημένους καὶ διπλόῃ καὶ περιεργίᾳ τετυχηκέναι δὴ τοῦ σκοποῦ. ταῦτα γὰρ ἡ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου σοφία καὶ σύνεσις.

XXXVI. Ἐφ' ἡμέραις οὖν συχναῖς πάσης ἄλλης τῆς ἐν δημοσίοις ὑπηρεσίας ἐσχολακότες ὅλοι τῆς ἀφαιρέσεως ἦσαν τοῦ παρ' ἡμῖν ἐλπιζομένου πλείστου χρυσίου τῆς ⟨τε⟩ κτηνωδίας. πόθεν τοῦτο; καὶ εἴπερ ἦν ποίῳ πλημμελήματι πρόστιμον ἡ τῶν προσόντων ἡμῖν ἀποστέρησις. τῆς ἐκ τόπου καὶ μηδενὶ τῶν ἐθνῶν ἐπεγνωσμένης πλεονεξίας μηδ' εἴ τις ἄθεος ἢ μόνοις λῃσταῖς; καὶ δὴ τὸ δωμάτιον ἡμῶν καὶ τὸ περὶ αὐτὸ ὕπαιθρον ἀκριβῶς, ἐντέχνως, ἐπιστημονικῶς διερευνησάμενοι καὶ ὅσον

6 πολέας] πολιάς M | 24 ⟨τε⟩] om. M | 27 μηδ'] μὴ δ' M

ὑφεωρῶντο τὴν αὐτῶν κρύπτειν ἐλπίδα διορυξάμενοι, περισκοποῦσι τὸ ὑπηρέσιον ἔξω τοίχων ὂν καὶ μᾶλλον οἱ περὶ τὸν προηγούμενον, τὸν λόγιον, τὸν γεραρόν, ὃς καὶ ὑπονοεῖ τῆς αἰδοίης καὶ μεγαλοφυέος ἀρχαϊκῆς κεφαλῆς ἀνάξιον ὑπονόημα, τὸ τοῖς ὑπεκκεκριμένοις λύμασι τὸ ζητούμενον ὑποκεῖσθαι διὰ τὸ ἀνύποπτον καὶ ἀφώρατον, ἀπροσφυῶς τῇ λογιότητι καὶ γεραρότητι καὶ πράττων καὶ λογιζόμενος. ὅθεν περὶ τὴν ἀνόρυξιν ἐπισπεύσαντες καὶ δυσωδίας ἐμφορηθέντες ὡς τὸ εἰκὸς ἐπὶ διακένῳ καὶ γελοιοτάτῳ σπουδάσματι καὶ ὑπὸ σφῶν αὐτῶν τῆς ἀμβλωσκούσης τοιαῦτα μυσάγματα καὶ βδελύγματα διανοίας πλέον κατεχλευάσθησαν ἤπερ ἡμεῖς τοῦ ἀπονήρου τρόπου καὶ τῆς ἁπλότητος. ἐς πολὺ τοίνυν ἐν πολλοῖς ἐπὶ τῇ διερευνήσει μοχθήσαντες οὐδὲν ἕτερον ἤνυσαν ἢ κατῃσχύνθησαν.

XXXVII. Ἡμεῖς δὲ μετὰ τοὺς λαμπροὺς αὐτῶν ἀγῶνας καὶ τὰ περιφανῆ κατορθώματα, δι' ἐπιστολῆς ἀνενεγκόντες τῷ κρατοῦντι τὰ καθ' ἡμᾶς, τὴν ἐς αὐτὸν ἄφιξιν ἐκχωρούμεθα. καὶ ἀφιγμένοι πρὸς βασιλέα τοῖς μὲν λελυπηκόσιν οὐδὲν ἀνιαρὸν προκαλούμεθα, καὶ ταῦτα παρ' αὐτοῦ προτρεπόμενοί τε καὶ παρορμώμενοι. θεσπίσμασι δὲ κατοχυρωθέντες βασιλικοῖς. τοῖς μὲν τὸν ἁρπακτῆρα ποιμένα μακρὰν ἐλαύνουσι τοῦ φροντιστηρίου καὶ τῆς τοῦ Θαυματουργοῦ καὶ πᾶσαν εἴσοδον αὐτῷ τὴν εἰς αὐτὰ τελείως ἀποτειχίζουσί τε | fol. 230v καὶ συμφραγνύουσιν, ἡμᾶς δὲ κἀν τῇ ἐκδημίᾳ τὸ κῦρος ὅλον ἔχειν ἐπικυροῦσιν αὐτῶν, τοῖς δὲ καλῶς καὶ ἀρίστως ἐφοδιάζουσι καὶ συστροφήν, κακουργίαν, ἐπίθεσιν. εἴ τίς που, διὰ προοδευτῶν ἀναστέλλουσι καὶ τὴν πορείαν

22 βασιλικοῖς] βασιλικῶς M ‖ 29 προοδευτῶν] προδευτῶν M

ἐξομαλίζουσι. τήν τε τῶν ἡμετέρων καὶ μὴ παροῦσιν ἑαυτοῖς ἰδιοπραγίαν βεβαιούμεθα καὶ τὴν εἰς τὸ διὰ σπουδῆς ἄγουσαν ἀσφαλεστέραν εὑρίσκομεν. οἱ γὰρ τῶν κατὰ τὴν ἡμετέραν διόδευσιν ἄρχειν κεκελευσμένοι πόλεων καὶ χωρῶν τῆς εἰς ἡμᾶς προμηθείας οὐκ ὀλίγον τιθέμενοι λόγον ἐς τὰ προσωτέρω δι' ἐπιμελείας ἄλλος ἐξ ἄλλου κατὰ διαδοχὰς ⟨ἡμᾶς⟩ ἄχρις Ἄθω σχεδὸν παραπέμπουσιν. ἔνθα χρονίσαντες καὶ δυσαρίθμοις ἐνιδρώσαντες βίβλοις τὴν Θεσσαλονικέων καταλαμβάνομεν. κἀκεῖ τοῖς ὁμοίοις διαρκέστερον ἐμμογήσαντες τοῖς περὶ Λάρισσαν προσχωροῦμεν καὶ περαιτέρω, τῆς αὐτῆς ἐργασίας ἐπιμόνως ἐχόμενοι καὶ τοῦ καιροῦ φειδόμενοι καὶ τὴν σπουδὴν ἐπιτείνοντες. συνήργουν δ' ἡμῖν, ἐφ' οἷσπερ ἐνδεδημήκαμεν, οἷς τὸ ἄρχειν, καὶ τὰ δέοντα παρεῖχον ἄφθονα καὶ φιλότιμα, τοῦ θεοῦ πάντως κινοῦντος καὶ πείθοντος. οὐδὲ γὰρ ἦν αὐτοῖς ἀνάγκη τοῖς βασιλέως ὑπείκειν θεσμοῖς, ὅτι μηδ' ἐξ αὐτοῦ τὴν ἀρχὴν εἶχον ἢ νεύουσαν πρὸς αὐτὸν ἀλλ' ἦσαν αὐτὴν αὐθέκαστοι καὶ αὐθαίρετοι. τοῖς δυσμικοῖς οὖν πολυκαιρίως ἐμμείναντες καὶ συντόνως τῇ τῶν εὑρημένων μελέτῃ βίβλων ταλαιπωρήσαντες — δυσμέτρητοι δ' αὗταί γε καὶ δυσπόριστοι καί τινες πολλοῖς τῶν ἐν λόγοις βεβιωκότων ἠγνοημέναι καὶ τὰ ὀνόματα — μεμνήμεθα νόστου, συνεπείγοντος εἰς τοῦτο καὶ τοῦ βασιλέως δι' ἐπιστολιμαίων ἐπιταγῶν, — καὶ ταῦτ' ὁπόσαις ἀκραιφνοῦς ἐνδείξεσιν ἀγαπήσεως, ὁπόσαις τῶν ἐς χρῆσιν ὀχετηγίαις εἰσρεούσαις ἀένναον, ὁπόσαις τιμῶν ἐπιδόσεσι — πρὸς δὲ καὶ τῇ τῆς Ἀχρίδος προεδρίᾳ — προσεχῶς γὰρ ἔτυχε τὸν ἑαυτῆς ἀπο-

7 ⟨ἡμᾶς⟩] om. M

βεβληκυῖα ποιμένα — κατασχεῖν πειρωμένων ἡμᾶς τῶν ἐκεῖ. πλὴν ἡ τῶν ἐν οἷς ἡνδρώμεθα καὶ μεμονάσμεθα καὶ ἱερώμεθα κρατεῖ σὺν τοῖς βασιλικοῖς κελεύσμασιν ἐπιπόθησις. καὶ τὰ κατωτέρω λιπόντες ἀνωτέρω προβαίνομεν — εἴθε καὶ τῷ τρόπῳ καὶ πολιτεύματι — | καὶ τὴν Θεσσαλονικέων εἰσδύντες κἀν τῇ f. 251r ἀνόδῳ τοῖς ἐν οἷς κἀν τῇ καθόδῳ πρῴην ἐγκαταγόμεθα.

XXXVIII. Καὶ πάλιν ὁ πολέμιος κίνδυνον μελετᾷ καὶ πάλιν εἰσφέρει τὰ τῆς βασκανίας αὐτοῦ σκαιωρήματα. τῶν γὰρ τὰ τῆς οἰκίας πτερύγια μέχρι που στήθους ἀναβάσεως περιεχόντων περικλεισμῶν — ἀνάγαιος γὰρ ἦν οὐκ ἐς βραχὺ καὶ μετέωρος — ἐν οἷς ὑποκεκυφότες ἡδράσμεθα συνήθως ἐφ' ὅσοις καιροῖς, τούτων ἐκ τοῦ ἀφανοῦς περιελόμενος τὰ συνέχοντα τὴν εἰωθυῖάν ποτε τεθαρρηκότας ἡμᾶς ὑπέρεισιν εἰς γῆν καταβάλλει σὺν τῷ περικλεισμῷ. τὸ δ' ὑποκείμενον ἦν σὺν τῷ ἐς τόσον ἀποκεχωρηκέναι τοῦ ὅθεν καταβεβλήμεθα καὶ λίθων ἐπίμεστον. εὐθὺς οὖν ἐρριμμένοις ἡμῖν τὰ ὀστᾶ συντρίβεται καὶ μᾶλλον τὰ περὶ θώρακα, καὶ ἀναπνοὴ κατέχεται πᾶσα καὶ θάνατος ἀπαραίτητος. καὶ ὁ βοηθὸς ἐγγύς, καὶ ὁ σώστης ἐκλελοιπόσιν ἢ μὴν ἐκλείπουσιν ἤδη παρέχει τὴν ἀναζώωσιν. καὶ μετ' ἐξαισίους ἀλγηδόνας καὶ ἀφορήτους ὡς ἂν οἶμαι, — μήποτε διαλάθῃ τῆς εὐεργεσίας τὸ μέγεθος! — καὶ τὰ συντετριμμένα συνδεῖ. καὶ φέρομεν εἰκόνας ἀπηκριβωμένας ἐς δεῦρο καὶ σαφέστατα σύμβολα καὶ τῆς σφαγῆς καὶ τῆς συντριβῆς καὶ τὰς τεραστίους καὶ τίσιν οὐκ ἀπίστους σωτηρίας ἀνακηρύττομεν. πεπείσμεθα δ' ὅτι καὶ τὰς ἐντὸς θανατηφόρους πληγάς τε καὶ συντριβὰς

18 ἐρριμμένοις] ἐριμμένοις M

ὁ αὐτὸς ἰατὴρ διὰ μόνην τὴν αὐτοῦ πολλὴν ἐς ἄπειρον ἀγαθωσύνην ἰάσεται. πλὴν εἰ κατανύξει πληγοίμεθα τῆς καρδίας καὶ πνεῦμα συντετριμμένον φέροιμεν ἐφ' οἷς πεπλήγμεθά τε καὶ συντετρίμμεθα.

XXXIX. *Μετὰ τὴν παράδοξον τῆς τοιαύτης ἀπαλλαγὴν συμφορᾶς ἐν οἷς ἦμεν πρὸ τῆς ἐκδημίας ἐπάνιμεν καὶ τῷ τοῦ κρατοῦντος υἱεῖ γνωριμώτατοι, μηδὲ πρὶν ἀγνοούμενοι, καθιστάμεθα καὶ παρ' ἀμφοῖν, τοῦ τε κυρίου τῆς ἀρχῆς καὶ τοῦ κληρονόμου, καὶ μάλιστα τοῦ δευτέρου, δαψιλῶς ἡμῖν ἐπιρρέει τὰ δέοντα. τῆς τε τῶν Ἐφεσίων ἐγχειριζομένης εἰς ποίμανσιν — κατέλιπε γὰρ αὐτὴν ἀποταξάμενος ἑκὼν ὁ διώκων ἡμᾶς, ἵνα μὴ καὶ ἄμφω κατὰ τὸν αὐτοῦ προορισμὸν ὁρίοις ἐμπεριεχώμεθα τοῖς αὐτοῖς — οὐδ' ἀκοῇ τὰς περὶ τούτου φωνὰς ᾑρετισάμεθα παραδέξασθαι. πρὸς ἐκεῖνο fol. 231v βλέποντες ᾧ συντετράμμεθα. καὶ λαμβάνει τὸν θρόνον ὁ ἐμὸς ὁμώνυμος, ὁ πρῶτος ἐν ἱεροῖς διακόνοις βασιλικοῖς, ἀνὴρ κατὰ θεὸν διάγων, ὁρῶν πρὸς θεόν, θειογραφικῆς γνώσεως ἔμπλεως, καὶ ἡμῖν ὑπ' αὐτοῦ γινωσκομένοις καὶ τιμωμένοις ἀντιγινωσκόμενος καὶ ἀντιτιμώμενος, τῷ πρὸ αὐτοῦ κατὰ πᾶσαν ἕξιν ἀντίθετος, πεπαιδευμένος τὸ ἦθος, σεμνοπρεπὴς ἁγνείᾳ καὶ παρθενίᾳ, διαλάμπων ἐπιεικείᾳ μετ' ἐμβριθείας τῆς ὅσης δεῖ, καὶ ἐν οἷς χρὴ τὸ ἥμερον ἅμα καὶ ἀρχικὸν ἐνδεικνύμενος συμπαθείᾳ, καὶ τῇ τῶν ἱερῶν ἐκδικήσει παρανομουμένων ἀντικοσμούμενος, ἱεράρχης συντόμως εἰπεῖν οὐ κεχρωματισμένος, οὐκ ἐπίπλαστος, οὐ ψευδώνυμος.

XL. *Ἀλλὰ* ταῦτα μετὰ μικρόν. πρὸ δέ γε τούτων τὴν εἰς θεὸν ἀνάλυσιν ἐπειγόμενον τὸν πατριάρ-

3 τῆς] τὰς M | 15 ᾑρετισάμεθα] ἡρετισάμεθα M | 21 τῷ] τὸ M

χην ἤρετο πρὸς αὐτὸν ἀφιγμένος ὁ βασιλεύς. ἐν τῇ Νικαέων εἶναι τυχών, τίνα πατριαρχῆσαι δεῖν εἰς τοὐπιὸν ἐπιλέγεται. καὶ ὃς 'εἴπερ ὁ ἐρόμενος τοῦ ἰδίου θελήματος τὸ θεῖον προτίθησιν, ἐπίδηλός ἐστι καὶ ἀντεπίλεκτος ὁ ζητούμενος', καὶ τὸ ἡμέτερον ὄνομα προσεπήγαγεν· 'εἰ δ' οὖν, ἀλλ' ἀνεπιτήδειος οὗτος πρὸς τὸ μὴ θεῷ πειθαρχεῖν, οἵ δ' ὁρῶντες πρὸς ἄλλο τι πολλοῖς ἐπίγνωστοι'. καὶ ὁ μὲν οὕτω κέκρικε, τηρῶν κἂν τῷ τέλει τὴν εἰς ἡμᾶς στοργὴν καὶ φιλίωσιν, ὁ δέ τινα προκρίνει Μεθόδιον, μεθ' ὃν τὸν τοῦ ἀνακτορικοῦ κλήρου πρῶτον προβάλλεται. καὶ ἡμᾶς εἰς τὴν αὐτοῦ παιδαγωγίαν ἐκλέγεται, τὸν αὐτὸν τιθεὶς ἄγοντα καὶ ἀγόμενον, μᾶλλον δὲ κατὰ τὸ ἄγειν ἀγόμενον. ἀλλ' ἡμεῖς ταύτην τὴν οἰκονομίαν, ὡς ἔλεγεν ἐκεῖνος, οὐ προσηκάμεθα τὸ μὲν ὡς καινοτομίαν, τὸ δὲ καὶ ὡς θορύβων ἡμῖν εἰκαίων παρεκτικήν.

XLI. *Οἰκοῦμεν* δὲ καὶ αὖθις τὴν τοῦ Θαυματουργοῦ, ἡσυχίᾳ καὶ λόγοις οἷς συνηνέξήμεθα καὶ συνεπιδεδώκαμεν προσανέχοντες. ἄγει καὶ πάλιν ὁ πολέμιος καὶ κινδύνους καὶ ἀπεχθείας ἡμῖν. ἡ γὰρ τῆς βασιλίδος ἀντίζηλος, ἡ ταύτης ἐς τὸ πᾶν ὑπερέχουσα, ῥαγδαίως οὐ προειδόσιν ⟨ἡμῖν⟩ εἰσέφρησε μεθ' ὅσης πομπῆς, μεθ' ὅσου φρυάγματος, εἴς τε τὸν νεὼν τῆς ἱερᾶς | καὶ μυστικῆς τελουμένης θυσίας ἐσήλατο. καὶ fol. 232r ἡμεῖς τῷ ἀδοκήτῳ καταπλαγέντες, μηδὲν διαπράξασθαι πλέον ἔχοντες, ἀποκλείομεν αὐτῇ τὴν τῶν θείων λογίων ἀκρόασιν, ἐπίπροσθεν τοῦ θυσιαστηρίου τὸν ἱερουργὸν ἵστασθαι καὶ μήτε τι δρᾶν μήτε τι λέγειν ἑτοιμασάμενοι. καὶ αὕτη μὲν ἐφ' ἱκανὸν στᾶσα καὶ γνοῦσα τὴν

4 προτίθησιν] προστίθησιν M | 22 ⟨ἡμῖν⟩] om. M

ἐπιτίμησιν ἔβη γοῶσά τε μυρομένη τε, βαρυστενάχουσα, δακρυχέουσα. τινὲς δὲ τῶν τῆς πομπῆς σὺν τῷ προεξάρχοντι Δριμεῖ τοὐπώνυμον προσεπέμειναν καὶ ἐδυσφόρουν ἐπὶ τῷ γενομένῳ καὶ ἠγανάκτουν. ὁ δὲ Δριμὺς οὐκ εἶναι δίκαιον ζῆν ἡμᾶς ἐν τῷ κόσμῳ φάμενος ἐπελάβετο τοῦ ξίφους — περιέζωστο γὰρ αὐτό — καὶ εἷλκεν ὁλοσχερῶς, τὸ δ᾽ οὐχ εἵπετο. καὶ ἡμεῖς ἐκφόβησιν ὑπετοπάζομεν τὸ γινόμενον. ὁ δ᾽ ἀνελεῖν ἤθελε· καὶ μὴ πειθομένου τοῦ ξίφους διακονήσασθαι θυμῷ ζέων καὶ ἀποθηριούμενος ἦν, ἕως ἀπαλλαγέντων ἡμῶν ἐξ αὐτῶν ᾤχοντο καὶ αὐτοί. τὸ δέ γε τερατουργηθὲν ὁ πεπειραμένος, ὁ αὐτόχειρ, ἐν τοῖς βασιλείοις ἐξηγούμενος ἐπιστώσατο. κἂν ἐφ᾽ ἡμετέρᾳ διαβολῇ καὶ δυσφημίᾳ παρεσχεδίαζε τὴν ἀλήθειαν, μαγγανεύμασί τε καὶ γοητεύμασι τὴν εἰς τὸν κουλεὸν ἐπίσχεσιν τοῦ ξίφους ἐπιγραφόμενος τῶν καθ᾽ ὧν εἵλκετο. πλὴν ἐντεῦθεν ἀνενδοιάστως ἐπέγνωμεν ὡς οὐκ ἐκφόβησις ἦν τὸ δρώμενον, ἀλλ᾽ ὄντως ἐπιχείρησις ἀναιρέσεως, ὑπὸ τῆς τοῦ ἡμετέρου βοηθοῦ καὶ σώστου κεκωλυμένης δυνάμεως. τῆς οὖν ἐς τὴν ἐξόχως περιόπτόν τε καὶ περιβόητον, ἧς καὶ τοὔνομα φρίκην ἐνεποίει, γεγενημένης ἐπιτιμήσεως τολμηρᾶς ἅτε δεδογμένης καὶ παραλόγου καὶ εἰς ὕβριν τοῦ ὑπερέχοντος, ἀηδίαι καὶ ἀποστροφαὶ τοῖς ἐπιτετιμηκόσιν ἐπήχθησαν ἀντεπιτιμήσεις τε διενοοῦντο καὶ ἀντιλυπήσεις ἐμελετῶντο καὶ πολὺ fol. 232v τὸ δυσχερὲς καὶ θορυβῶδες | συνήγετο.

XLII. Σοφῶν δὲ καὶ πολυμαθῶν ἐκ τοῦ τῆς Ῥωμαίων προέδρου διαπεμφθέντων ἀνδρῶν ἐς διάλογον περί τε τοῦ δόγματος καὶ τῆς θυσίας, τῶν ἀμφισβητου-

22 ἅτε] ὅτι M

μένων ἀντιπεριέστησαν τὰ ἡμέτερα. καὶ γεγόναμεν αὖθις διὰ τὸν λόγον ἡδεῖς οἰκονόμοι τοῦ λόγου καὶ προσιτοί, καὶ αὐτοῖς δὲ τοῖς ἀντικαθισταμένοις οὐ φορτικοὶ διὰ τὸ τῆς διαλέξεως ἥμερον. ἀλλὰ καὶ Κιλίκων περὶ τοιούτων ἐληλυθότων, εἴ τι καὶ λέλειπτο τῆς ἀπεχθείας ἴχνος, ἀμυδρὸν ἐξηφάντωτο. καὶ ἦμεν ἐν εἰρήνῃ διὰ τὰ δεδηλωμένα καὶ φιλιώσει πᾶσι τοῖς ἀντιλέγουσι. τότε καὶ χρυσὸν ἡμῖν πεμψαμένου τοῦ βασιλεύοντος ἀναπόμπιμον αὐτὸν πεποιήμεθα, τιμὴν εἶναι φάμενοι τοῦ λόγου τὸ ἀχρημάτιστον· καὶ ὁ μὲν ἤνεγκεν. ἦν γὰρ ἐπιεικής τε καὶ νουνεχὴς ὑπὲρ πολλοὺς τῶν ἐπὶ τούτοις θαυμαζομένων. ὁ δὲ κληρονόμος, λόγου μὲν περιουσίᾳ τοῦ πρώτου πλεονεκτῶν, ἐπιεικείᾳ δὲ καὶ μετριοφροσύνῃ λειπόμενος, ὠνείδισεν ὡς εἰς περιφρόνησιν προβὰν τοῦ φιλοτιμησαμένου τὸ πεπραγμένον· ἀλλ᾽ ἡμεῖς τὴν οἰκείαν καὶ εἰς τὸ ἑξῆς κρίσιν ἀναλλοίωτον τετηρήκαμεν.

XLIII. Οὐ πολλοὶ περιτροπέοντες ἐνιαυτοὶ καὶ ὁ κρατῶν καὶ ὁ πατριαρχῶν ὥσπερ ἐκ συνθήματος ἐς τὰ ὑπερκόσμια συνοδεύουσι. καὶ τὸν μὲν ὁ κληρονόμος εὐθὺς διαδέχεται, περὶ δὲ τῆς θατέρου διαδοχῆς τοῖς ἀρχιερεῦσιν οὗτος ἐπιτρέπει ψηφίσασθαι. συνεληλυθότες οὖν ὑπὲρ τοὺς τεσσαράκοντα — καὶ γὰρ ἦσαν προηθροισμένοι τοῦ προβεβασιλευκότος μετακεχωρηκότος διὰ τὸν τῆς βασιλείας ἐγκαινισμόν — πάντες ἡμῖν καὶ πρώτοις καὶ μόνοις ἀδιστάκτως καὶ ἀλογοπραγήτως ὥσπερ ἐκ μιᾶς καὶ διανοίας καὶ γλώττης τὸ ποιμεναρχεῖν ἐψηφίσαντο. καὶ περὶ δευτέρου δὲ καὶ τρίτου κατὰ τὸ εἰωθὸς ἐν ταῖς ψήφοις ἠρωτημένοι τὸν αὐτὸν ἔχειν ἔφασαν καὶ πρῶτον καὶ δεύτερον καὶ τρίτον οὐδ᾽ ἕνα δ᾽ ἕτερον. ἐπείγει τοιγαροῦν τὴν χειροτονίαν

καὶ μάλιστα διὰ τὴν τοῦ τῆς βασιλείας χρίσματος τελεσιουργίαν | (fol. 233r) ὁ τῆς βασιλείας διάδοχος. ἔσπευδε γὰρ καὶ τῆς Νικαέων ἐπὶ βεβαιώσει τῶν καθεστηκότων καὶ αὐξήσει τοῦ κράτους καὶ προσλήψει δυνάμεως ἐξελθεῖν. ἡμεῖς δ' ἀναβαλλόμεθα τὸ θερμὸν αὐτοῦ δεδιότες πρὸς ἅπερ ἂν βούλοιτο διαπράττεσθαι καὶ νεανικὸν καὶ ὀξὺ καὶ ἀνένδοτον. ὁ δ' ὑπισχνεῖται τιμάς τε καὶ δοξασμοὺς καὶ ὅσα κατ' ἄνθρωπον. τιμῆς θεοῦ δὲ καὶ δόξης λόγος οὐδείς. τότ' ἐγὼ βίαν ἐφ' ἡμέραις συχναῖς ὑφιστάμενος, ἧς οὐκ ἔχω ῥαδίως διασαφῆσαι καὶ παραστῆσαι τὸ μέγεθος, καὶ τὸ τοῖς ἱεραρχικοῖς ἔργοις ἀντίξουν ὑποστελλόμενος αἰτῶ σύμβολον ἐκ θεοῦ. τὸ δ' ἦν, εἰ περὶ τῆς θεοῦ τιμῆς ἀκούσαιμι τοῦ βιαζομένου κἂν γοῦν ἐσάπαξ εἰπόντος, ὡς ὑποδῦναί με χρὴ τὸν τῆς ἱεραρχίας ζυγὸν διὰ τὴν θείαν τιμήν, καθυποκύψαι τῇ βίᾳ καὶ πεισθῆναι θεῷ καὶ πρὸς κινδύνους ἕλκοντι προφανεῖς· εἰ δ' οὖν, κἄν τί με δέῃ καὶ τῶν ἀνηκέστων παθεῖν, τέλεον τὴν χειροτονίαν ἀπείπασθαι καὶ τὴν κλῆσιν καὶ τοὺς ἀγῶνας φυγεῖν, εἰ διὰ ματαιότητας εἶεν καὶ μανίας ψευδεῖς. τί γὰρ ἕτερον τὸ πολλῶν καταδυναστεύειν καὶ προκαθῆσθαι, περιστοιχίζεσθαί τε καὶ προπέμπεσθαι καὶ κροτεῖσθαι καὶ κατευφημεῖσθαι καὶ προϋπαντᾶσθαι καὶ ὑπεραίρεσθαι καὶ ὅσα πρὸς σωτηρίαν ἀσυντελῆ;

XLIV. Τὸ μὲν οὖν σύμβολον νυκτὸς ᾔτηται καὶ μεθ' ἱκετηρίας ὡς ἔπρεπεν. ἕωθεν δὲ μεταστειλάμενος ὁ τῷ λόγῳ δεδηλωμένος ἡμᾶς — ἡ τῆς τελεσιουργίας ἦν κυρία, καθὼς ἐκείνῳ δέδοκτό τε καὶ ὥριστο — τὴν χειροτονίαν ἡμῖν ἀπαρτισθῆναι κατεπείγει μηδ' ὅλως χρονοτριβήσουσιν. ἦμεν δ' ἄμφω μόνοι πρὸς τὸ ἐνδότερον καὶ δύο τῶν οἰκειοτέρων αὐτῷ καὶ λογιω-

τέρων περὶ τὰς θύρας, ἔξω δὲ κατὰ τὸν ἐν βασιλείοις μέγιστον οἶκον ὁ τῶν ἀρχιερέων ἵστατο σύλλογος. ὡς δ' οὐκ εἶχεν ἡμᾶς ὡς ἠβούλετο κατανεύοντας, πάλιν πιθανολογίαι | (fol. 233v) καὶ πάλιν ὑποσχέσεις, ἀνθρώπινα τὰ πάντα. πρὸς ἃ καὶ πρῴην ἐφέρετο, μνεία δὲ θεοῦ τιμῆς οὐδαμοῦ, μόνον ἐκ τῶν κάτω περὶ τὰ κάτω στροφὴ καὶ οὐδὲν εἰσαγόμενον ὑπὲρ αἴσθησιν. τοιαῦτα γὰρ ἅπερ ἔφασκε πρός με, καταπείσειν ἐντεῦθεν οἰόμενος τὸν οὐκ ἔχω πῶς εἰπεῖν ἀγνοούμενον· 'οἶδας ὅτι σὲ μόνον ἐπελέξαντο πατριάρχην πᾶσα τῶν ἀρχιερέων ἡ σύνοδος· ἄσμενοι τὴν ἐπιλογὴν ὁ κλῆρος ἐδέξαντο καὶ τὸ μονάζον καὶ ὁ λαός. τὸ στρατιωτικὸν καὶ ὅσοι τῶν ἐν τέλει σὲ παντὸς ἑτέρου προκρίνουσιν. ἐμοὶ δ' ὅσον τὸ ἐθέλειν πατριάρχην εἶναι σὲ τί χρὴ καὶ λέγειν; αὐτὸς γινώσκεις. αὐτὰ τὰ πράγματα μαρτυρεῖ. καὶ δὴ καὶ αὖθις καθυπισχνοῦμαι τοσαύτην εἰς σὲ ποιήσασθαι καὶ τοιαύτην τιμήν, ὅσην καὶ οἵαν οὐδεὶς βασιλέων εἰς οὐδένα πατριάρχην ἐποιήσατο πώποτε. τίνα γοῦν ἔχει λόγον τὸ ἀπειθές σου καὶ διὰ τί ἐστι'; ταῦτ' ἔλεγε καὶ προσέπιπτεν ἕως ἰχνῶν, αἰτούμενος τὸν πρὸς ὃν οἱ λόγοι μὴ ἀναβάλλεσθαι καὶ εἰσέτι, δέξασθαι δὲ τηνικαῦτα τὸ χρῖσμα χωρὶς μελλήσεως. ἰδὼν γοῦν ἔγωγε μὴ τὴν οἱανοῦν ὑπ' αὐτοῦ πάροδον ἔχον ὅλως τὸ σύμβολον, ὑπανοίγω ⟨τὴν⟩ θύραν αὐτῷ καὶ δίδωμι τὴν εἰσέλευσιν 'εἰ περὶ τῆς τοῦ θεοῦ τιμῆς ἤκουον', φάμενος, 'ἀπεκρινάμην ἂν καὶ αὐτός. νῦν δὲ τί φθέγξομαι, τί λαλήσομαι, τὴν ἐμὴν τιμὴν οὐ ζητῶν, πρόσκαιρος ἐπείπερ ἡ κατ' ἄνθρωπον καὶ

11 sq. ἐδέξαντο] ἐδέξατο M ‖ 19 σου] σοι M ‖ 22 χρῖσμα] χρίσμα M ‖ 24 ⟨τὴν⟩ om. M

ἀνόνητος'; καὶ αὐτὸς πρὸς αὐτά· 'νῦν σὺ τὴν τοῦ θεοῦ μὴ ζήτει τιμήν'.

XLV. Ἐγὼ δ' ἐπὶ τῷ λόγῳ μέσην τὴν καρδίαν πληγεὶς καὶ οἷον ἐξεστηκὼς γεγονὼς οὕτως ἠρξάμην βοᾶν μόνον οὐ διαρρηγνύμενος τῷ μεγέθει τοῦ φθέγματος· 'οὐ μὴ ζητήσαιμι τὴν τιμὴν τοῦ θεοῦ; ζητήσαιμι δ' ἂν τίνος τιμήν, ὁ πάντων ἀθλιώτατος ἐγώ; τίνα λόγον ἐνωτίσασθαι διὰ τὴν τῶν ἀνομιῶν μου πολυπλήθειαν κατακέκριμαι; σκηπτὲ τί μέλλεις; τί δ' fol. 234r ἀναδύῃ καὶ οὐ καταφέρῃ | τάχιον; καὶ κατατεφροῖς τὸν τοιαύτης ἀκηκοέναι καταδεδικασμένον φωνῆς, εἰ ἀνέχοιτο. γῆ διαρράγηθι κἀκεῖνον, εἰ μὴ χαλεπαίνοι πρὸς ὃν τὸ φθέγμα τοῦτο καὶ λάλημα. σύγχωσον· εἰ μὴ ζητήσαιμι, κύριε, τὴν σὴν ἐξ ὅλης ἰσχύος τιμήν, ἐξολοθρεύσαις με παραυτίκα τῆς γῆς· τῆς βίβλου καὶ τῶν σωζομένων ἀθρόως ἐξαλείψαις, εἰ τῆς σῆς τιμῆς ἀλογήσαιμι. βαβαὶ τῆς συμφορᾶς ἧς ἐγεγόνειν αὐτήκοος. ἄκουε οὐρανὲ καὶ ἐνωτίζου γῆ, παρωθοῦμαι τὴν προεδρίαν καὶ ἀποπέμπομαι, τοιαύτης βλασφημίας γεγονυῖαν παραίτιον· κἂν ἐξορίαι μοι κἂν λιμώξεις κἂν βάσανοι κἂν μελῶν ἐκτομαὶ κἂν θάνατος βίαιος, τὴν ποιμεναρχίαν οὐ καταδέχομαι'. τούτων καὶ τῶν τοιούτων ὡς ἤκουσεν οὕτω λαλουμένων μετὰ συντονωτάτης κραυγῆς ὁ τῆς βασιλείας διάδοχος, ἐννεὸς ἐγεγόνει καὶ οἷον ἀπεπάγη καὶ ἄναυδος μεμενήκει καὶ ἀχανής. καὶ ἡμεῖς λιπόντες αὐτὸν πᾶσαν τῆς ἡμετέρας πατριαρχίας ἐλπίδα τῆς αὐτοῦ διανοίας ἐκμοχλευσάμενοι πρὸς τὴν καταγωγὴν ἐπισπεύδομεν, τὸ σύμβολον ἐναργὲς ὡς οὐ θεῷ βουλητὸν ἡμᾶς προεδρεῦσαι δεδεγμένοι καὶ

1 σὺ] δή ? ‖ 7 ὃ] ὧ M

ἀναμφίλεκτον. ἔκτοτε διαμηνυσάμενος καὶ ἀποπειρασάμενος καὶ ἀποκρουσθεὶς ἐφ' ἑαυτὸν μετήγαγε τὸν Ἀρσένιον. καὶ λόγου μηδενὸς δεηθεὶς ἄνευ ψήφων, ἄνευ ἐπιλογῆς ἀνίερον ὄντα πάντη πατριάρχην ἐν ἡμέραις πλάττει τρισὶ κελεύσει μόνῃ· αὕτη γὰρ ἦν νόμων, κανόνων, ἐθῶν ἐκκλησιαστικῶν κυριεύουσα. καὶ δείκνυσιν ἐκ προοιμίων, μᾶλλον δ' ἐκ πρώτης προτάσεως, μὴ χρῄζων κατασκευῆς, οἷον δεινὸν ὑπερέβημεν. | καὶ ἄλλα fol. 234v δὲ προσεοικότα μετέπειτα συνηνέχθησαν· ὃ δὲ πλέον πάντων ἡμᾶς ἠνίασεν ἐς μνήμην θήσομεν.

XLVI. Εἶχεν ὁ βασιλεὺς ἀσυμβάτως καὶ πολεμίως μετὰ τοῦ τῶν κατωτέρω Θετταλικῶν καὶ τῶν ἐχομένων ἡγεμονεύοντος. ὁ μὲν γὰρ ἐσπούδαζεν ὡς ἕνα τῶν ὑπηκόων καθυποτάττειν αὐτόν, ὁ δ' οὐκ ἐβούλετο. καὶ μέθοδος ἐντεῦθεν ἐπινοεῖται, δι' ἧς ἀνυσθείη τὸ σπουδαζόμενον, εἰ καὶ ἀσυντελὴς ἀπελήλεκται. τὸ τὴν ἐκείνου σύμπασαν ἐπικράτειαν, τὰς πόλεις, τὰς χώρας, τὸν παμμιγῆ μετὰ καὶ τοῦ ἡγεμόνος λαὸν ἀφορισμῷ καθυποβεβλῆσθαι καὶ ἀναθέματι διά τε φωνῆς καὶ διὰ τόμου συνοδικοῦ. καὶ ὡρίσθαι μήτε τῶν δεσποτικῶν μυστηρίων εἶναί τινα κοινωνὸν ἐκεῖσε μηδ' ἐπ' αὐταῖς μεταλλάξεσι, μήτε βαπτισμοὺς ἢ κηδεύσεις ἤ τι ἕτερον τελεῖσθαι τῶν νενομισμένων χριστιανοῖς. ὡς ἂν ἐκ τῶν τοιούτων ἀναγκασμάτων ἢ πάντες ἢ τὸ πλῆθος τοῦ σφῶν αὐτῶν κατεξανεστηκότες ἄρχοντος, ἐν δεσμοῖς ὑπ' αὐτῶν, ἐν ἀγωγῇ γεγονότος, ὑποταγῆς αὐχένα πρὸς τὸν μεθοδευσάμενον κλίνωσι, ταῦτα διανοούμενον ὧν πέρας οὐδέν. ταῦτ' ἀναπλάττοντα τῷ ἐθέλειν ὧν τὸ πράττεσθαι τὸ ἀσύστατον, τὰ φρο-

29 ὧν τὸ] ὢν τῷ M

νέοντ' ἀνὰ θυμὸν ἅ ῥ' οὐ τελέεσθαι ἔμελλεν. ὁ μὲν οὖν ὑπερέχων ἐκύρωσεν, ὁ δὲ πατριάρχης ὑπούργησε. καὶ δὴ τὸ ὑπ' αὐτὸν ἱεραρχικὸν συναγηοχὼς καὶ τὸν f. 235r ἀφορισμὸν καὶ τὸν ἀναθεματισμὸν γνωμολογεῖ | καὶ ἀποφαίνεται σὺν αὐτοῖς. καὶ τὸν τόμον συντάττουσιν ὑπογραφαῖς τε πιστοῦνται πάντες καὶ ἀπαρτίζουσιν. εἶτα καὶ τὸν ἱερωμένον καὶ λοιπὸν ἠθροικότες λαὸν ἐκφωνοῦσι κατὰ τῶν ἀθῴων τραναῖς βοαῖς τὸ ἀνάθεμα. Μαγνησία ἦν ἡ ἀνήλιος — ἐν ταύτῃ γὰρ ἐσκηνοῦντο — τῶν δραμάτων ὁ χῶρος τῶν ἀξίων σκότου καὶ ᾅδου καὶ σιωπῆς.

XLVII. *Γνοὺς οὖν ἐγὼ ταῦτα καὶ τῶν βασιλείων ἐντὸς ἐν ἄκρᾳ κατηφείᾳ πρὸς τὸν κρατοῦντα πεφοιτηκὼς καὶ τὴν αἰτίαν ἠρωτημένος, δι' ἣν ἐσκυθρώπαζον, δι' ἣν ἐστύγναζον, δι' ἣν ἐῴκειν πενθοῦντι — καὶ ἀληθῶς ἐπένθουν καὶ ὠδυρόμην ἐς ἑαυτόν — 'ὁ κύριος', ἔφην, 'εἰς γῆν κατελήλυθε καὶ γέγονεν ἄνθρωπος καὶ τὸ οἰκεῖον ἐξέχεεν αἷμα τὸ πάσης τιμῆς ὑπερέκεινα καὶ θάνατον ἀλγεινόν, ἐπονείδιστον, ἐπάρατον καθυπέμεινεν, — ἐῶ τὰς ἀγωνίας λέγειν, τοὺς ἐμπαιγμούς, τοὺς βασανισμούς, τοὺς ποικίλους χλευασμοὺς καὶ μυκτηρισμούς, ὧν ἁπάντων ἐπικαρπία χριστιανισμός, — καὶ ἡμεῖς ἄρτι τοὺς δὴ τοσούτους τοῦ δεσπότου καμάτους ὅσον τὸ ἐφ' ἑαυτοῖς φρούδους ποιεῖν ἐπειγόμεθα καὶ τὸ κράτιστον ἔργον αὐτοῦ καταλύομεν, ἑσμοὺς χριστιανικοὺς μικροῦ δεῖν ἀπείρους, ἠδικηκότας οὐδέν, τῆς τοῦ προσλαβομένου χειρὸς ἐκσπῶντες ἄκοντος ἄκοντας καὶ τῆς αὐτοῦ κυριότητος πόρρω τιθέμενοι. πότερον οὐ καλῶς συνάγομεν; οὐ καλῶς οἰκοδομοῦμεν; οὐ καλῶς ἐπιστρέφομεν'; ᾐδέσθη τοὺς λόγους ὁ βασιλεὺς καὶ τὰ μὲν γεγονότα ποιῆσαι*

μὴ γεγονότα πῶς εἶχεν ἰσχύν! τέως δ' οὖν τὸν τόμον διαρρήξας εἰς τὸν ἄρχοντα περιεστήσατο τὴν ἔγγραφον ἐπιτίμησιν. ταῦτα πόσων θρήνων, πόσων δακρύων ἐπάξια; πόσα στεναγμῶν πλήθη καὶ κοπετῶν τοῖς τοιούτοις ἐνεργήμασιν εὑρεθεῖεν ἀντίρροπα; τοιαῦτα τὰ f. 235v *ἡμέτερα δι' ὧν σωζόμεθα καὶ σώζειν καὶ ἄλλους λεγόμεθα νεανιεύματα; τοιαῦτα τῶν ἀγαθῶν προστατῶν, τῶν τὰς ψυχὰς τιθεμένων ὑπὲρ τῆς τοῦ Χριστοῦ κληρουχίας τὰ κατορθώματα; καὶ τὰ ἑξῆς δὲ παρεμφερῆ. τυχὸν δὲ καὶ τῷ χείρονι πλησιαίτερα.*

XLVIII. *Μάστιξ λοιπὸν ἐπιπέμπεται τῷ βασιλεῖ καὶ νόσος ἀλλόκοτος. ἀεὶ γὰρ ἐν ἀθυμίᾳ καὶ δέει διατελῶν καί ποι προελθεῖν ἐς ὕπαιθρον οὐδαμῶς ἀνεχόμενος τοῖς βασιλείοις ἀχνύμενος, δαπτόμενος κῆρ, ὃν κατέδων θυμὸν ἐνεκέκρυπτο. διὸ καὶ γραφὰς ἀφεσίμους αἰτεῖ καὶ λαμβάνει παρά τε τοῦ πρωτοποιμένος, ἐφ' οἷς διεπράξατο, καὶ τῶν ἄλλων ἱεραρχῶν, ἐκβιάζεται δὲ καὶ ἡμᾶς ταὐτὰ δρᾶσαι· καὶ οὐ πειθόμεθα. 'πῶς γάρ', λέγομεν, 'ἐς τοσαύτην ἀπόνοιαν ἐξωκείλαμεν ὥστε τῶν ὑπὲρ ἡμᾶς τοσούτῳ μέτρῳ τὰς πράξεις ἐπικυροῦν'; ὁ δέ, τὴν σκῆψιν συνείς, 'μὴ δέδιθι' φησι 'τὴν ἐπιμονὴν ἢ τὴν ἐς αὖθις περίπτωσιν. ἔσται γὰρ ἐξαγόρευσις πρός σε καὶ διόρθωσις.' 'ἀλλ' ἀνάρμοστόν μοι τοῦτ'', εἶπον ἐγώ. 'καὶ πῶς ἂν καταδεξαίμην ὃ μὴ προσπέφυται'; στραφεὶς δὲ πρὸς ἐμαυτὸν 'εἴθ' ἐκ τῶν ἔργων', εἴρηκα, 'τοὺς ἐμοὺς πιστωσαίμην λόγους, οὐκ ἔμπαλιν· ἐμοὶ γὰρ τοῦτο μυρίων ὑπέρτερον ἀθῳώσεων. ὁ δεσπόζων εἴ με δεσμεῖ, τίς δουλεύων ἰσχύσειε λύσασθαι; χεῖρα προσκαλεσαίμην τὴν*

14 κῆρ] κηρῶν M

κραταιὰν περιέχουσαν, καὶ πᾶν τὸ ἀντιβαῖνον οἰχήσεται· ταύτης δ᾽ ἀπούσης τὸ πολέμιον ἔφοδον εὕρατο καὶ οὐκ ἂν ἀναστείλαιεν οὐδ᾽ ἀγγελικῶν ἀφεσίμων ὅλοι φάκελοι. πλήρεις μάρσιπποι.᾽ ταῦτ᾽ εἰρηκότες καὶ τῆς βίας ὕφεσιν εὑρηκότες οἴκαδε θέομεν. ἡμέραι θαμεῖαι καὶ ἡ μάστιξ κρατύνεται καὶ ἡ νόσος πιέζει σφοδρότερον, καὶ ἐς οὐδὲν αἱ ἀφέσεις καὶ ἐς οὐδὲν αἱ γραφαί. καὶ ἡμεῖς μετάκλητοι. | fol. 236r καὶ ὁ χειμαζόμενος τί τὸ αἴτιον τῆς βασάνου πυνθάνεται καὶ τὴν θείαν ἐγκατάλειψιν ἀνυποστόλως ἀποκρινόμεθα· καὶ δοκοῦμεν τῆς ζάλης ἀπευκταιότεροι. πολυπραγμονοῦντος δὲ τοῦ πάσχοντος τὴν ἀπόκρισιν ᾽εἰ βασιλεύεις᾽ ἔφαμεν, ᾽εὐαρέστως θεῷ, διεψεύσμεθα, τούτου δ᾽ οὐκ ὄντος, ἀψευδεῖς ἡμεῖς. καὶ σὺ τὸ συνοῖσον συζήτησον. τὴν ἐκ τοῦ χείρονος ἐν τάχει φυγὴν καὶ τὴν πρὸς τὸ κρεῖττον ἀπαρεγκλίτως ἐπάνοδον.᾽ ὁ δ᾽ ἔλεγεν ᾽ἃ συνεσκιασμένως ὑποφαίνων πρὶν ἦσθα νῦν πεπαρρησιασμένως διατρανώσας ἐκπεφανέρωκας.᾽ καὶ ἦν ἡμῖν ἐς πρόσωπον μὲν ἐπικρύπτων τὸν χόλον, μὴ παροῦσι δὲ τόλμαν διὰ τὴν τῆς ἀληθείας ἐξαγγελίαν ἐπιγραφόμενος καὶ θρασύτητα. καὶ δὴ τῆς δεξιᾶς αὐτὸν ἀπεγνωκότες μεταβολῆς — μάλιστα γὰρ ἐπηύξει τὰ θεὸν παροξύνοντα — μεμενήκαμεν ἐς ἑαυτούς, τὴν ἐς βασιλέως ἀπαναινάμενοι παντάπασιν ἄφιξιν.

XLIX. Πρὸ μέντοι τοῦ συνεστάλθαι καὶ μὴ προβαίνειν ἡμᾶς καὶ τοῦ τὸν ὑπερηξιωμένον κλυδάζεσθαι καὶ δονεῖσθαι καὶ δυσφορεῖν, τῶν ἐν ἀξιώμασί τις, τὸν τρόπον μέτριος, ἐν ἀνακτόροις πολυετής, ἀπροσώπως λόγου παρεισρυέντος ὅτι τις τῶν αὐτοῦ θεραπόντων ἀπόφημόν τι διὰ τὴν βασιλείαν ἀπέρριψεν

30 βασιλείαν] νασίλειαν M

ὡς οὐκ αἴσιον οὖσαν οὐδὲ χρονίσουσαν, ἐς κίνδυνον ἐγεγόνει. καὶ γὰρ ὁ ταύτην κεκτημένος τῷ τοῦ εἰπόντος δεσπόζοντι τὴν αἰτίαν περιῆπτεν, ὡς ἐξ ἐκείνου δῆθεν ἠκροαμένου τῆς βλασφημίας τοῦ φήσαντος καὶ οὕτως αὐτὴν ἐξενέγκαντος. ὁ δ᾽ εὐθυνόμενος ἔξαρνος ἦν, ἐπιβοώμενος τὸν θεόν, ὅτι μηδέν τι τῶν διαπεφασμένων εἴη ξυνεγνωκὼς ἑαυτῷ. κατήγορος οὐκ ἦν. ἔλεγχος οὐδείς. ὁ τὸ ἄτοπον εἰρηκὼς οὐ παρῆν. καὶ ἡ κατάκρισις βασιλέως βουλήματι καὶ λόγῳ παρὰ παντὸς τοῦ ἀθροίσματος συγκεκρότητο. πρῶτον γὰρ ὁ πατριάρχης ἔνοχον εἶναι θανάτου τὸν ἄνθρωπον ἀπεφήνατο, καὶ ὅσοι τῶν ἱεραρχούντων παρῆσαν τῷ πρώτῳ συνεγνωμάτευσαν. | fol. 236v εἶτα ταῖς γνώμαις ἐστοίχησαν ὅσοι μοναζόντων ἡγήτορες οἵ τε τῶν ἐν τέλει καὶ οἱ τοῦ στρατοῦ· πολὺς γὰρ ὁ σύλλογος καὶ παντοδαπός. θανάτου πάντες αὐτὸν ἐδικαίωσαν. ἐγὼ δ᾽ ἐξειστήκειν παρ᾽ οὐδενὶ τῶν συνειλεγμένων τὸν θεὸν εἶναι κατανοῶν. ἠρωτημένος δέ ποτε παρὰ τοῦ κρατοῦντος, τί ἂν ἔχοιμι λέγειν καὶ αὐτὸς περὶ τοῦ προκειμένου τῶν ὅλων ὕστατος ᾽ἔγωγε᾽ τέως ἔφην ᾽οὐκ ἔνοχον εἶναι θανάτου κρίνω τουτονὶ τὸν κατάκριτον, ἡ βασιλικὴ δ᾽ αὐτῷ φιλανθρωπία τὸ τῆς σωτηρίας κεφάλαιον.᾽ πρὸς τοῦτ᾽ ἔφησεν ὁ τῷ γένει μὲν χαμερπέστατος, ὑψίπορος δὲ ταῖς βασιλικαῖς οἰκειώσεσι καὶ ἀναβάσεσιν εἴπερ τις ἕτερος, ὡς οὐκ ἔστιν ἄξιον τὸν οἷς ἀκούει μὴ συντιθέμενον τοῖς ἱσταμένοις ὧδε συνίστασθαι. κἀμοῦ πρὸς αὐτὸν ἀποβλεψαμένου καὶ τὰ τὸν ὕθλον διαλύοντα προφέρειν ἑτοίμως ἔχοντος.

16 θανάτου] θανάτῳ M | 24 ὑψίπορος] ὑψιπόρος M | 25 εἴπερ] ἤπερ M

ὁ βασιλεὺς τῇ τῶν ἐμῶν λόγων ἐνασμενίσας μεθόδῳ τὴν λοιπὴν περιεῖλε λογομαχίαν. κρείττω πάντων ⟨ἐμὲ⟩ εἰρηκέναι καὶ νουνεχεστέρᾳ παρρησίᾳ παραστησάμενος καὶ συμπαθείας τὸν θανάτου τετιμημένον ἀξιωσάμενος. ἦν γὰρ ὁ παιδαγωγὸς ἡμῶν καὶ τὰ τῶν ἄλλων σκεδαννύων καὶ τὰ ἡμέτερα συνιστῶν, ἐπεὶ τὰ μὲν δι' ἀνθρώπινον θέλημα, τὰ δὲ διὰ τὴν ἀλήθειαν, ἧς οὐδὲν αὐτῷ τιμιώτερόν τε καὶ οἰκειότερον.

L. Τούτων ἐς τόδε τὸ πέρας ἠγμένων καί τινων ἄλλων ὁμοίων πως ἐς ὁμοιότροπον, — ἐν ὅλῃ τῇ βιοτῇ τοῦ πρὸς χάριν ἐπὶ λύμῃ λέγειν ἢ πράττειν ἀπεχθῶς ἔχειν ὁ παιδαγωγὸς ἡμᾶς ἐξεπαίδευσεν, ὅθεν καὶ τοῖς πλείστοις τῶν ἀδικούντων ἀνεπιχαρεῖς αὐτοὶ καὶ ἀξύμβατοι — τὸν Δριμὺν ἡ γειναμένη σημαίνεται τὸν φονῶντα πρῶτον, εἶτα συκοφαντοῦντα, κατασχέσει περιπεπτωκέναι πικρᾷ, βαρείας ὀδύνης καὶ πολυκαρκεύτου ἐς πλήσμιον ἐμφορούμενον. μένεος οὖν πλησθέντες ἰσχύι πάσῃ τὸν βασιλεύοντα παραιτούμεθα χαρίσασθαι τοῦτον ἡμῖν καὶ τῶν δεσμῶν θεῖναι καὶ τῆς κακουχίας ἐλεύθερον. ὁ δὲ τὴν αἴτησιν διὰ θαύ- fol. 237r ματος ποιησάμενος | — ἤδη γὰρ καὶ τίς ὡς αὐτὸς τὰς ληστρικὰς ὁρμάς, τὰς θεόθεν ἐπισχέσεις, τὰς ἀθέους διακηρυκεύσεις; — πείθεται τάχιστα καὶ τῶν μὲν ἀλγεινῶν ὁ εἰρημένος ἐξαπολύεται, συντέμνεται δὲ παρὰ τοῦ ὑπὲρ ἡμᾶς τὴν ζωήν.

LI. Ἡμεῖς δὲ τὸν ὅλον βίον διὰ τὴν ἰδιοτροπίαν μωμητοὶ τοῖς ὠφρυωμένοις καὶ καταχλεύαστοι, πλὴν εἴ τις αὐτῶν πόρρω τοὺς ἄντικρυς μεμηνότας κατὰ τὴν τῶν θαυμασίων κρίσιν ἀνδρῶν σωφρονοῦν-

2 ⟨ἐμὲ⟩] om. M ‖ 11 βιοτῇ] βιωτῇ M ‖ 13 ἀδικούντων] δοκούντων M ‖ 21 ἤδη] ἠδη M

τας ἡγεῖτο καὶ ἀνεκήρυττε. τέρας δ' ὅτι ποτὲ καὶ οἱ φαυλίζοντες καὶ μυκτηρίζοντες ἐπιτεθήπεσαν, ὅτε τὰς τῶν ἐπιτηδευμάτων αὐτῶν ἑώρων περιτροπάς· τέρας δ' ἐπὶ πλέον, ὅτι διὰ παντὸς αὐθαιρέτοις ῥοπαῖς ὀλισθαίνοντες, οὐ κρύφια μόνον ὅσον τὸ μέτρον αὐτῶν, ἀλλ' ἤδη καὶ πρόδηλα, τῆς ὄντως ἀντιληπτικῆς οὐκ ἀπερρίμμεθα δεξιᾶς, εἰς ἣν ὁρᾶν ἐμάθομεν καὶ σφαλλόμενοι. ταῦτα τῆς ὑπερφυοῦς σοφίας καὶ τῆς ἄκρας ἀνεξικακίας τοῦ παραγαγόντος καὶ συνετίζοντος καὶ φυλάττοντος, τοῦ κηδομένου καὶ βοηθοῦντος καὶ σώζοντος, οὐ κατ' αἴσθησιν μόνον καὶ χρονικῶς, ἀλλὰ καὶ ὑπὲρ αἴσθησιν τὰ μάλιστα καὶ διηνεκῶς· οὐ τὸ ἄνθρωπόν ποτε προκεκρῖσθαι πόσης ἂν εἴη τῆς ἀλογίας; ἀτρέπτου τρεπτὸν καὶ ἀθανάτου θνητόν· εἰ καὶ πρὸς ὕψος ἀρθείη δόξης ἀμήχανον, ὁ ἀλλοιωτός· εἰ καὶ πᾶσαν δυναστείαν καὶ κράτος ὅλης γῆς, ὅλης θαλάττης ἔχοι περιλαβών, ὁ φθαρτός, ὁ μηδὲν ἰσχύων μόνιμον παρασχεῖν τοῖς πρὸς τὴν αὐτοῦ κατασυρομένοις ἀρέσκειαν. πῶς γάρ; ὁ μηδ' ἑαυτῷ δυνάμενος ἐπαμῦναι φυσικαῖς ἀστασίαις κλονουμένῳ καὶ πίπτοντι τῆς πλάνης, τῆς ἀπάτης, τοῦ προσκαίρου δελέατος; ὁ τὴν τῶν ἀϊδίων ἔννοιαν ἀφ' ἡμῶν τῶν λόγῳ | τετι- fol. 237v μημένων ἀφίστησι. καὶ πρὸς χοῦν κεχήναμεν καὶ περιεχόμεθα τῇ σκιᾷ. εἴη δὲ ἡμᾶς ἀνανῆψαι καὶ τὴν πατρίδα κατανοῆσαι καὶ τὸν πατέρα ζητῆσαι καθώς ἐστι πρέπον, τὸν ἐν τοῖς οὐρανοῖς.

7 ἀπερρίμμεθα] ἀπερρίμεθα M ‖ 20 ἐπαμῦναι] ἐπαμύναι M ‖ 24 τῇ σκιᾷ] τῆς σκιᾶς M

Τοῦ αὐτοῦ
περὶ τῶν κατ' αὐτὸν μερικὴ διήγησις.
λόγος δεύτερος. ἐγράφη μηνὶ Ἀπριλλίῳ ἰνδικτιῶνος ὀγδόης. ἔτους ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ἑβδομηκοστοῦ τρίτου.

I. *Ἐκ θεοῦ μνείας ἀρξάμενοι πρότερον ὧν ἐξ αὐτοῦ παρ' ἀξίαν ἐπηύραμεν ἔνια, μὴ πάντα, διεξιέναι — τίς γὰρ ἂν ἐξαριθμήσαιτο τὴν ὁλότητα; — καὶ διὰ μνείας θεοῦ κεχωρηκότες ἐς αὐτήν τε τὰ τῆς διηγήσεως περατώσαντες, ἐπείπερ ἀρχὴ καὶ μεσότης καὶ τέλος τῶν ἐπὶ τὸ βέλτιον ἐν ἡμῖν καὶ πᾶσι θεός, νῦν ἐπαναπλήρωσιν διαλειμμάτων, ἤδη δὲ καὶ προσθήκην ἐλλειμμάτων ὡρμήσαμεν, οὐ πάντων βεβουλημένοι ποιήσασθαι συναγωγὴν ὧν παρήκαμεν, — τοῦτο γὰρ δυσχερὲς ὅ τε πόνος οὐκ ἐς πολὺ τοῖς ἡμετέροις λυσιτελὴς — ἀλλὰ τῶν καιριωτέρων καὶ τούτων, ὅσων ἐκ τῆς τῶν πεπειραμένων διανοίας τὸ τῆς λήθης γῆρας οὔπω τὴν διαμόρφωσιν ἀπημαύρωσε, περὶ ὧν ἐν τῷ προγεγενημένῳ μὲν συγγράμματι διαλαβεῖν, ἐκείνου τὴν ἔκτασιν ὑποστειλάμενοι, κατωκνήσαμεν· ἄρτι δὲ τοιαύτης ὑπονοίας ἀπούσης, ἰδίᾳ συνταττομένων αὐτῶν καὶ μηδὲ πολλῶν ὄντων, διαλαμβάνομεν. εἰ δ' ἔν τισι τῶν προειρημένων ἐπάνοδος ἔσται τις, πῆ μὲν τῶν κεκρυμμένων αὕτη διὰ τὸ τῶν πραγμάτων πρὸς τἆλλα παρηλλαγμένον τὰ σὺν αὐτοῖς καὶ δευτερολογίας ἄξιον ὁποιασοῦν, πῆ δὲ καὶ τῶν χρησίμων πρὸς τὰ λεγόμενα, | συναρτῶσα τρόπον τινὰ τοῖς προηγησαμένοις τὰ ἐφεπόμενα καὶ τιθεῖσα μελῶν ὡσπερεὶ σώματος ἑνὸς συναφήν. ἐπεὶ δ' ὁπόσα τοῖς ἀκούουσιν ἐπαχθῆ ταῦτα καὶ τοῖς λέγουσιν, εἰ πρὸς αὐτοὺς ἀφορῷεν, νοῦν ἔχουσιν, οὐκ ἀνεπαχθῆ, καὶ μᾶλλον ἐξαπλούμενα καὶ διαρρήδην ἐξαγγελλόμενα, τῶν τοιούτων τινὰ μὲν οὐ στελοῦμεν ἀλλὰ παρυποκρύψομεν, ἕτερα δὲ καὶ παντελῶς ἀποσιωπήσομεν.*

II. *Καίτοι πῶς ἄδηλον, ὅτι τὰ θεῖα δωρήματα καί γε τὰ προμηνύματά τε καὶ προδιδέγματα τοῖς ἀναξίοις φανεῖσιν ἐπὶ πλέον ἐπιφέρει ταλανισμὸν καὶ ὄντως ἠλεισμόν; ἵνα δὲ καί τινων ἐλαχίστων ἐπιμνησθῶμεν, ἐξ ὧν ἑωράκειμεν ἔστιν οὐ μεγαλαυχίαν ἀλόγιστον· εἰς τί σέμνωμα τῷ ἀρτιγενεῖ — τί γὰρ αὐτὸ συνίησιν; — ἡ τῶν πενιχρῶν σπαργάνων ἀπόθεσις ἢ τῶν τιμαλφῶν τε περίθεσις, εἰ παρά τινων ἔξω κόσμου γινωσκομένων εἶναι τελοῖντο. δεδόσθω γὰρ καὶ τῇ γειναμένῃ λεχοῖ καθ' ὕπαρ ὡς ἐν ὀμφῇ θεωροῖντο, μή, τῆς ἡλικίας ἐπιδιδούσης καὶ τῆς διανοίας κραταιουμένης, ἔργοις ἐξηγουμένου τὸ σύμβολον τοῦ τοιαύτης ἠξιωμένου προσημασίας; ἀλλὰ καὶ τὸ μηθενὸς ἑτέρου γάλακτος πλὴν μητρῴου μόνου μήποτε μετεσχηκέναι τὸ νεογνόν, πολλῶν μηχανῶν ἐς τὸ γεύσασθαί πως αὐτὸ τροφῆς ὀθνείας κεκινημένων, καὶ ταῦτα τῶν ἐκ τῆς αὐτῆς πάντων, τοῦ τε πρώτου καὶ τῶν μετ' αὐτὸ τὸ δεύτερον τριῶν, ἀλλοτρίαις τὴν νηπιότητα διατεθραμμένων θηλαῖς, τί προσκληροῖ δόξαν τῷ μήπω δεδυνημένῳ λογίζεσθαι; τό τ' ἐξ αὐτῆς τὸ παιδίον ἀρχῆς*

16 *καιριωτέρων*] *καιριωτέρων* M | 24 *κεκρυμμένων*] *κεκριμμένων* M

19 *καθ' ὕπαρ*] *καθύπαρ* M | 23 *μητρῴου*] *μητρώων* M | 27 *ἀλλοτρίαις*] *ἀλλοτρίοις* M

ὀδόντων ἐκφύσεως ἀσεμνολογῆσαι μὲν οὐδαμῶς. ἀπο-
fol. 23v τρόπαιον δὲ καὶ τὸ ψεῦδος | ποιεῖσθαι κατόρθωμα πῶς, οὐ γνώσεως οὔσης, οὐ διακρίσεως; ἐν τούτοις τάττομεν καὶ τὸ θηλείας αὐτὸ μὴ καταδέξασθαί ποτε περίπτυξιν οἱανοῦν ἐς πάντα τε τὸν περὶ συζυγίας αὐτῷ προτείνοντα λόγους ὡς ἐν ἀστεϊσμῷ λίθους βάλλειν ὡς δύναμις καὶ τὸ ναοῖς ἱεροῖς ἐνθαμίζειν ἐθέλειν καὶ τὰ τῶν ὑμνηπόλων καὶ θυηπόλων οἴκοι καθυποκρινόμενον τὸ μειράκιον καὶ μιμούμενον ἐν τούτοις τὸν τῆς παιδιᾶς ἐν συννοίᾳ διανύειν καιρόν.

III. Ταῦθ᾽ ἡμεῖς καὶ τὰ παραπλήσια κηδεμονίας μὲν θείας καὶ κατὰ ψυχὴν ἐγχαράξεως τοῦ καλοῦ καὶ τυπώσεως τεκμήρια φαίημεν ἄν. οὐ μὴν ἐντεῦθεν τιμίους ἡγούμεθα τοὺς οὐκ ἀξίους τῶν τοιούτων ἑαυτοὺς ἀναδείξαντας, μάλιστα μὲν οὖν ὑπευθύνους καὶ πάσης πόρρω συγγνώμης τιθέμεθα, καθ᾽ ὅσον οὗτοι δεσποτικῆς τοσαύτης ἐν οὐ φρονήσει προμηθείας τετυχηκότες, ὅτε φρόνησις, ἠφρονεύσαντο καὶ τὸν διδάσκαλον ὡς ἔδει καὶ κύριον διὰ τῶν πράξεων οὐκ ἐπέγνωσαν. εἰ γὰρ οἱ τὴν κατὰ κόσμον σοφίαν σωρηδὸν δεδεγμένοι τῷ μὴ ταύτης ἐπιγνῶναι δοτῆρα διὰ τῆς πίστεως, καθὼς βοᾷ μετὰ τῆς ἀληθείας ὁ ἀπόστολος, ἐμωράνθησαν, πῶς σκιαγραφίαι τινὲς ὀλβιώσειαν τοὺς ταύταις μόναις ἐκ ῥαθυμίας ἐναπομείναντας; οὐ χρὴ τοίνυν οὐ μόνον ἐκ προδιαγραφῆς, ἀλλ᾽ οὐδ᾽ ἔκ τινος φανεροῦ προτερήματος οὐδ᾽ ἔκ τινος ἐντελοῦς κατορθώματος τοὺς γνῶσιν κεκτημένους μετεωρίζεσθαι, — τί γὰρ ἔχομεν ὃ οὐκ ἐλάβομεν εἰ τέως ἔχομεν; — ἀλλὰ τῷ τῆς ταπεινώσεως ἀεὶ βυθῷ τὸν ὕψιστον ἐνοπτρίζεσθαι καὶ

10 συννοίᾳ] συνοίᾳ M ‖ 21 ἐπιγνῶναι] ἐπιγνόναι M

κάμπτεσθαι πρὸς αὐτόν, πενεστάτους εἰδότας οἴκοθεν σφᾶς αὐτοὺς καὶ ἠπορημένους παντὸς ἀγαθοῦ, καὶ συντρίβεσθαι, δεδοικέναι τε καὶ τρέμειν τὸν ἐξουσίαν ἔχοντα καὶ δοῦναι καὶ τῶν δεδομένων ἀποστερῆσαι τοὺς οὐκ εὐγνώμονας.

IV. Ἡ πατρὶς τὸ Βυζάντιον ἑαλώκει τοῖς Ἰταλοῖς καὶ ἡμεῖς μετανάσται πρὸς | Βιθυνίαν· κἂν τῇ Προύσῃ fol. 24r μὲν γραμματικήν, ἐν Νικαίᾳ δὲ ποιητικὴν καὶ ῥητορικὴν καὶ τὰ τῆς λογικῆς ὅσα πρὸ τῶν ἀναλυτικῶν παιδευόμεθα. συλλογιστικὴν δέ, φυσικήν, ἀριθμητικήν, γραμμικὴν ἐκδεδημηκότες εἰς Σκάμανδρον. ἀποφοιτῶμεν ἐκεῖθεν. ἐντυγχάνομεν κατὰ τὴν τῶν Σμυρναίων τῷ βασιλεῖ· τοῖς ἀνακτόροις γὰρ ἀναστραφέντες αὐτῷ προεγνώσμεθα καί γε προσῳκειώμεθα. παρῆν μεθ᾽ ἑτέρων λογάδων καὶ ὁ Καρύκης Δημήτριος, ὁ κριτὴς καὶ σεβαστὸς καὶ τῶν φιλοσόφων ὕπατος καὶ μέγας ἐν λογισταῖς· οὕτω πολλοῖς ἀξιώμασι διὰ τὸν λόγον κατεσεμνύνετο. καὶ ἡμῶν δέ ποτε πολὺ νεαζόντων ἐπὶ λογικῶς καθηγήσατο· γηραιὸς γὰρ ἦν καὶ πολυμαθής. ἐπιτάττεται παρὰ τοῦ κρατοῦντος, εἴ τίς ἐστιν ἐν λόγοις ἕξις ἡμῖν, γνωρίσαι ταύτην καὶ παραστῆσαι. καὶ ὃς ἀφιλοσόφως βασκαίνων καὶ πανουργῶν δεῖξαι πειρᾶται μηδὲν ἐπισταμένους ἡμᾶς. τοιγαροῦν καὶ ἡμεῖς ταῖς αὐτοῦ πανουργίαις αὐτὸν ἀντιδεξιούμεθα, τρόπον ἕτερον ὡς οὐκ ἔδει μετὰ στρεβλοῦ διαστρέφοντες. ἐπεὶ γὰρ τοιαύτην ἐπέρρηξε πρότασιν· ʽὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν μακάριος ἀνήρ ἐστινʼ. ἡμεῖς εὐθὺς εἰς δόξαν αὐτοῦ τὴν πεῖραν αὐτοῦ μεταθέμενοι, ταύτην ἐξευρόντες ἐκ τοῦ παραυτίκα τὴν μέθοδον, οὑτωσὶ διακηρυκεύομεν.

11 γραμμικὴν] γραμματικὴν M ‖ 13 ἀναστραφέντες] ἀναστρεφέντες M

V. Ἐνωτίσασθε πάντες τὸ θαυμάσιον δόγμα, τὸν ἀναντίρρητον λόγον τοῦ τῶν φιλοσόφων ὑπάτου. τί γὰρ δογματίζει καὶ ἀποφαίνεται; πᾶς ἵππος μακάριος ἀνήρ ἐστιν, ὡσαύτως καὶ πᾶς ὄρνις καὶ πᾶς ἰχθύς, οὐ μὴν ἀλλὰ καὶ σίδηρος καὶ σπόγγος καὶ κρύσταλλος καὶ εἴ τι προσεοικός· τί γὰρ ἐξ αὐτῶν ἐν [fol. 239v] ἀσεβούντων βουλευτηρίῳ | πεπόρευται; συνίης τί λέγεις, τῶν φιλοσόφων ὁ πρώτιστος; σὺ μὲν τὴν μείζω προτέθεικας, ἡμεῖς δὲ τὴν ἐλάττω προθήσομεν. ὁ βοῦς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν· τοῦτο τῆς ἐναργείας, ἄλογος γάρ· ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, μακάριος ἀνήρ ἐστι κατὰ σέ· πότερον οὖν ὁ βοῦς; μακάριος ἀνήρ ἐστιν. οὐκ ἔχεις ἕτερόν τι συναγαγεῖν ἢ τοῦθ᾽, ὅτι τὸ ἄλογον ζῷον, ὁ βοῦς, καὶ λογικός ἐστι καὶ μακάριος. τὸ δ᾽ αὐτὸ κἀπὶ τῶν ἄλλων τῶν παρὰ τὸν ἄνθρωπον ζῴων τε καὶ μὴ ζῴων βεβαιοῖς. βαβαὶ πόσον ἡμῖν εἰσάγεις μακαρίων ἀνδρῶν· τῶν μὲν ἀλόγων, τῶν δὲ καὶ ἀφώνων, τῶν δὲ καὶ ἀναισθήτων καὶ ἀκινήτων ἐσμέν. ἀλλ᾽ εἰ βούλει διασαφήσομέν σοι πῶς σου τὴν πρότασιν ἐχρῆν σε προενεγκεῖν· ὃς ἀνὴρ οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν μακάριός ἐστιν. εἰ οὕτω προὔτεινας, οὐκ ὀλίγας ἂν ἀτοπίας ἐξέκλινας, ἴσως δὲ καί τινας ἐξηπάτησας· ὅτι δ᾽ οὐχ ἡμᾶς, ἐξ ὧν ἤδη λέγομεν λάμβανε πίστωσιν. οὐ τὸ μὴ πορευθῆναι μόνον ἐν τῇ βουλῇ τῶν ἀσεβῶν μακάριον τιθέναι φάσκει τὸν ἄνθρωπον ὁ Δαυίδ· σμικρὸν γὰρ τοῦτο καὶ μυρίοις κατορθωθέν. ἀλλ᾽ εἷς ὑποκείμενος· οἱ συνεπόμενοι πέντε στίχοι πλὴν τοῦ ʽμακάριοςʼ, τοῦτο δὲ τῶν ἄλλων ὀνομάτων ἀποδιῃρημένον. κατηγορούμενος ἄνδρα μὲν οὖν ὁ προφήτης τὸν ἄνθρωπον συνεκδοχικῶς φησιν ἐκ τοῦ ὑπερέχοντος ὅτι τε καὶ γυναικὶ γνωμικῆς ἀρρενότητος δεῖ πρὸς ἀρετὴν καὶ στερρότητος. οὕτω δὲ προάγει τὸν λόγον ἄντικρυς· ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν καὶ τὰ ἐχόμενα καθὼς εἴρηται κατωρθώκει, μακάριος.᾽ ἔμεινεν ἀχανὴς ὁ τῶν φιλοσόφων καθηγεμών, ἐξ οἰκείας περιεργίας ἐπὶ τοσούτου πλήθους ἠχρειωμένος.

VI. Ἐπεὶ δὲ καὶ ἡμεῖς ἐρωτῆσαι τὸν ἐρωτήσαντα προσετάχθημεν, ἀλήπτους μὲν τὰς προτάσεις ποιήσασθαι καὶ πᾶσιν ὁμολογουμένας δεῖν ἔγνωμεν, ὡς μὴ ἀντιπάθοιμεν | ὃ διαπεπράχαμεν. [fol. 240r] ἐν δὲ τῷ συμπεράσματι τεκτήνασθαι τὸ βεβουλημένον εἴπερ ἰσχύσαιμεν. ἐν τῷ πρώτῳ γοῦν τρόπῳ τοῦ τρίτου σχήματος, τῷ καθόλου συναγαγεῖν, ἐπεβάλομεν, μὴ τοῦ τῆς ἐλάττονος ὅρου προτάσεως ἐμπεριεχομένου δὴ τῷ τῆς μείζονος ἢ πρὸς ἀλλήλους τῶν ὅρων ἀντιστρεφόντων· εἴ τι γὰρ ἦν τοιοῦτον, οὐδὲν ἂν ἀδύνατον ἠκολούθησεν. ἐν πᾶσι γὰρ σχήμασιν ἐκ καθόλου καταφατικῶν ὅμοιον τὸ συμπέρασμα ταῖς προτάσεσιν, εἴπερ ὁ τῆς μείζονος ἴδιος ὅρος τοῦ τῆς ἐλάττονος εὑρίσκοιτο περιληπτικὸς ἢ καὶ ἄμφω συναντιστρέφοιεν. ὡς ἐπὶ τῶν ὁρισμῶν καὶ τῶν ὁριστῶν ἔχει, τῶν ἰδίων τε καὶ ὧν ἴδια ταυτί. τὸν γὰρ ἄνθρωπον ἢ τὸν ἵππον ἤ τι τῶν ὁμογενῶν εἴ τις εἴποι ζῷον καὶ αὖθις οὐσίαν, συναγάγοι τὸ πᾶν ζῷον οὐσίαν εἶναι, καθόλου καὶ ἀληθὲς ἐν σχήματι τρίτῳ συμπέρασμα. τὰ δ᾽ αὐτὰ πάλιν οὐσίαν εἰπὼν καὶ τὸ ζῷον οὐσίαν ἐκ καταφατικῶν ἐν σχήματι δευτέρῳ συμπεραίνοι, καταφατικῶν ἀληθές.

5 sq. κρύσταλλος] κρύσταλος M ‖ 9 προθήσομεν] προσθήσομεν M ‖ 28 οἱ] οἳ M

29 συμπεραίνοι] συμπεραινοὶ M

ἐπεὶ τὸ ζῷον τῇ οὐσίᾳ καὶ σὺν τοῖς ὁμογενέσιν ὁ ἄνθρωπος τῷ ζῴῳ περιέχονται, τοῖς τῶν μειζόνων προτάσεων ὅροις οἱ τῶν ἐλαττόνων· ἐκεῖ μὲν γὰρ ἡ οὐσία τῆς μείζονος ἴδιος, τὸ ζῷον δὲ τῆς ἐλάττονος, ὁ δ' ἄνθρωπος καὶ τἆλλα ζῷα κοινός. ὧδε δὲ κοινὸς μὲν ἡ οὐσία, τὸ ζῷον τῆς μείζονος, τὰ δ' ὑπ' αὐτὸ τῆς ἐλάττονος. καὶ οἱ συλλογισμοὶ τὴν μὲν παράδοσιν ἐξέκλιναν, εἴπερ ἀεὶ κατ' αὐτὴν μερικὰ συμπεραίνει τὸ τρίτον σχῆμα καὶ τὸ δεύτερον ἀποφατικά, τοῦ δ' ἀληθοῦς οὐκ ἀπέστησαν.

VII. Ὁ μὲν οὖν πρῶτος τὸ τοῦ συμπεράσματος ποσὸν παραβέβηκεν, ὁ δὲ δεύτερος τὸ ποιὸν καὶ πρὸ τούτου τὸ ἀνόμοιον ἐν προτάσεσιν, ὡς ἐπὶ τούτων οὕτω, καὶ εἰ ἀλλήλων κατηγοροῖντο, τὰ τῶν προτάσεων ἄκρα. λίθου γὰρ παντὸς οὐσίας ὄντος καὶ πράγματος αὐθυπάρκτου, μὴ δεομένου πρὸς σύστασιν ἑτέρου τινός, οὐσία πᾶσα πρᾶγμα τοιοῦτον· εἰ δ' ὁ ἄνθρωπος οὐσία καὶ τὸ ζῷον λογικὸν θνητὸν fol. 240v οὐσία, | πᾶς ἄνθρωπος ζῷον καὶ λογικὸν καὶ θνητόν. τρίτον σχῆμα καὶ δεύτερον ἐξ ὁρισμῶν τε καὶ ὁριστῶν καθόλου καταφατικὰ συμπεραίνονται, πρὸς δὲ καὶ ἀντίστροφα· διαστατοῦ δὲ μεγέθους ὄντος παντὸς ἀλλὰ καὶ διαιρετοῦ, πᾶν διάστατον ἄρα διαιρετόν. εἰ δὲ ζῷον ὁ ἄνθρωπος, ζῷον δὲ καὶ ὁ γελαστικός, ἄνθρωπος ἅπας γελαστικός, ἐξ ἰδίων καὶ ὧν ἴδιά εἰσι τρίτον σχῆμα καὶ δεύτερον· ἀντίστροφα καὶ ταῦτα συνάγονται. πάντα καταφατικὰ καθόλου καὶ οὐδὲν μερικόν.

VIII. Τῷ τοίνυν καθηγητῇ προσδιαλεγόμενοι τὴν μείζω πρότερον ὡς ἐκεῖνος προὐτείναμεν, ὕστερον τὴν

25 συνάγονται] συνάγοντα M

ἐλάττω· καὶ διὰ μέσου βραχύ τι προσενεγκόντες ὡς διαστήσαιμεν τὰς προτάσεις ἀπ' ἀλλήλων ἐρώτημα τοιουτοτρόπως τὸν θηρεῦσαι διανοησάμενον ἐθηρεύσαμεν. 'ἆρα' γὰρ εἰρήκαμεν 'γινώσκει τὰ ὄντα ᾗ ὄντα ἐστὶ πᾶς φιλόσοφος;' ἡ μείζων αὕτη· κατέφησεν οὗτος. ἡμεῖς δὲ 'ποσαχῶς τὰ ὄντα;' καὶ ὅς· 'δεκαχῶς.' 'τί γοῦν', ἔφαμεν, 'πᾶς φιλόσοφος ἄνθρωπος'; κατέφησε καὶ αὐτό. 'πᾶς οὖν', ἐπηγάγομεν, 'ἄνθρωπος γινώσκει τὰ ὄντα ᾗ ὄντα ἐστίν, αἰπόλος, βουκόλος, ἱππονόμος καὶ συφορβός.' 'καλῶς συλλογίζῃ· πόθεν τὸ ἄτοπον;' 'μὴ δύο καταφάσεις ἐν δευτέρῳ δέδωκας σχήματι;' κατένευσε καὶ τῇ μεταξυλογίᾳ τὴν αἰτίαν προσῆπτε, δι' ἣν αὐτὸ πέπονθεν, ὅθεν ἔσφαλται μὴ συνείς· οὕτω φθόνος καὶ τοὺς δοκοῦντας βλέπειν ἀποτυφλοῖ καὶ τοὺς ἐν τιμῇ καταισχύνει καὶ τοὺς ὠφρυωμένους ἐξουδενοῖ. πόσον γὰρ ἦν τῶν προτάσεων διάστημα, τὸ δυνηθὲν αὐτὸν ἀποπλανῆσαι τοῦ τὸ δέον συνιδεῖν καὶ εἰπεῖν; τριῶν ποδῶν μετὰ δὲ τῆς ἀποκρίσεως τὸ σύμπαν ἡμίσεώς τε ποδός. οἱ δὲ [διὰ] τὴν διαλογικὴν εἰδότες ὁδὸν καὶ πολλῷ μείζονι τῆς συμφράσεως διῃρημένης οὐ παραφέροντες. | ληφθεισῶν μὲν οὖν οὑτωσὶ τῶν προτάσεων, fol. 241r ὥσπερ ἔφαμεν, τὸ συμπεπερασμένον παράλογον· εἴπερ δ' ἡ μείζων ἐλάττων ἦν, ἡ δ' ἐλάττων μείζων καθ' ἣν ἐτέθησαν τάξιν, οὐκ ἄπο λόγου τὸ συναγόμενον, ὡς ἐμπεριεχομένου τῷ τῆς μείζονος ὅρῳ τοῦ τῆς ἐλάττονος. εἰ γὰρ ὁ φιλόσοφος γινώσκει τὰ ὄντα ᾗ ὄντα ἐστίν, ὁ δ' αὐτὸς καὶ ἄνθρωπός ἐστι, πᾶς ἐπιστήμων τῶν ὄντων ἄνθρωπος. ταῦτα τῆς ματαιότητος.

16 αὐτὸν] αὐτὸ M

IX. *Τί τὸ ἐντεῦθεν; αἱρετοὶ τῷ κρατοῦντι γινόμεθα καὶ πλέον ἢ πρότερον. ἑλκόμεθα καὶ αὖθις εἰς τὰ βασίλεια. δυσχεραίνομεν ἐπὶ τούτῳ. μακρύνομεν φυγαδεύοντες, προσμολοῦμεν τῇ ἐκκλησίᾳ. τιμώμεθα δαψιλῶς. φθονούμεθα δαψιλέστερον τὸ μὲν διὰ τὸ πολὺ τῆς τιμῆς, τὸ δὲ διὰ τὸ τῆς γνώμης σκληρόν· οὐ γὰρ ἤδεις ἦμεν οὔποτε τοῖς πολλοῖς οὐδὲ κεχαρισμένα λέγειν ἢ πράττειν εἰώθειμεν οὐδὲ τοῖς ἐν ὑπεροχαῖς, εἰ πόρρω φέροιντο τοῦ ὀρθοῦ. τοὐναντίον μὲν ἔστιν οὗ καὶ ἐφ᾽ οἷς καὶ ὡς ἰσχὺς ἀνθεστηκότες ἀνίαν ἐπήγομεν. διὸ καὶ αὐτοὶ πολλοῖς ἀνιῶσιν ἐντετυχήκαμεν. πᾶσαν γὰρ τὴν κατ᾽ ἄνθρωπον εὐημερίαν ὄναρ ἡγούμενοι καὶ σκιάν — τάχα καθὼς ἔχει· παρατρέχει γὰρ οὐχ οὕτως ἔχουσά πως; — εἰς θεὸν μόνον ἑωρῶμεν, εἰς θεὸν ἠλπίζομεν, εἰς ὃν ἀεὶ πταίομεν. καὶ τὸ καινότατον· ὅσον πταίομεν, τοσοῦτον ἐλπίζομεν. τῆς ἀπαιδείας τί δράσομεν; αὐτοῦ τὸ δίδαγμα, τὸ ἔργον αὐτοῦ, τὴν ἡμετέραν αὐτὸς τῇ ἐπ᾽ αὐτὸν ἐλπίδι ψυχὴν προσκαθήλωσεν. οὗτος ἡμῖν ὁ τρόπος ἐκ πρώτης ἡλικίας ἐς τόδε τὸ γῆρας διαμεμένηκε· τοὺς παραβαίνοντας μὴ μόνα τὰ ἑαυτῶν ὡς ἔδει κατανοοῦντες ἠλέγχομεν, ὠνειδίζομεν, τὰς συναυλίας αὐτῶν ἐξεκλίνομεν. ὅθεν ἐπὶ πολλοῖς ἔτεσι τῇ βασκανίᾳ συντόνως προσεπαλαί-*
fol. 241v *σαμεν.*

X. *Ἀνυσάσης δὲ ταύτης οὐδὲν ἀλλὰ τὰ νεῦρα περιῃρημένης, ἡττημένης τε καὶ κατῃσχυμένης — ἦν γὰρ ὁ ἡμέτερος βοηθὸς πολυειδῶς ταύτην κατατροπούμενος — ἐν εἰρήνῃ πολυκαιρίῳ καὶ παρὰ πάντων αἰδοῖ καὶ τιμῇ καταλελοιπότες τὴν κλήρωσιν τῇ ἀποταγῇ προσχωροῦμεν· καὶ ῥακενδυτοῦμεν ἐν ὁρίοις Ἐφέσου, τὸν ταύτης ᾑρημένοι ποιμενάρχην ἔχειν ἡγή-*

τορα. Μανασσῆς οὗτος ἐκέκλητο, λόγῳ καὶ ἀσκήσει κεκοσμημένος ἀνὴρ καὶ διαφόροις ἀρετῶν ἰδέαις διαπρεπής. ἐνιαυτοῦ μήπω τὸ μέσον ἱκάνοντος ἡλικιώτης ἡμᾶς ὀτρύνει πόθος τὰ Ἱεροσόλυμα κατιδεῖν, ὡς ἂν τοῖς ἐκεῖσε τιμίοις τόποις καὶ αὐτοὶ τιμὴν ἀφοσιωσαίμεθα καὶ κατ᾽ αἴσθησιν. ἐπὶ τούτῳ μὴ παρὰ βούλησιν τοῦ ἡγήτορος πρὸς Ῥόδον ἀπαίρομεν, τοὺς σὺν ἡμῖν κατασφαλισάμενοι μὴ λαλῆσαί που τίνες ἡμεῖς, ἵν᾽ ὑπέρθεσις τοῦ σκοποῦ μή τις ἐκ τοῦ τῆς χώρας ἄρχοντος ἡμῖν ἐγγίνηται γνόντος ἡμᾶς. ἑαλώκειμεν δ᾽ ᾧπερ ἐπεφεύγομεν. ὡς γὰρ τῷ τῆς νήσου λιμένι προσεπωκείλαμεν, οὐδὲ πρὸς χέρσον ἐκβεβηκότες οὐ λανθάνομεν ἐνδημήσαντες. εὐθὺς οὖν ὁ ἄρχων — ὁ Γαβαλᾶς ἦν ὁ Καῖσαρ — ὃν οὐκ ἴσμεν ὡς ἑωράκειμεν πώποτε, διαπέμπει πρὸς ἡμᾶς φιλικὰς προσρήσεις καὶ δεξιώσεις, ἐφετὴν αὐτῷ καὶ τὴν κατὰ πρόσωπον ἡμῶν ἀλλήλων ὁμιλίαν εἶναι δεδηλωκώς. ὡς αὕτη γοῦν ἐγεγόνει, τρόποις αὐτὸς ὑφηγήσεως τὴν ἡμετέραν ὁρμὴν ἀνακόπτει τῷ τότε τὴν εἰς τὰ πρόσω, τόν τε | καιρὸν ἀνεπιτή- fol. 242r
δειον φάσκων, ἀρχὴν ὄντα φθινοπώρου, καὶ τὸ πέλαγος μέγα καὶ δυσδιάπλευστον, ἀναμεῖναί τε τὸ ἔαρ ὑποτιθέμενος, ὡς ἂν μή τι συμβαίη τῶν ὧν οὐκ ὀλίγοι πεπείρανται πλέοντες ὅτε μὴ δεῖ. ταῦτ᾽ εἰπὼν πειθηνίους ἔσχεν ἡμᾶς ὡς καὶ δειλίαν φέροντας συνουσιωμένην περὶ τὴν θάλατταν.

XI. *Προσκαρτεροῦμεν τοίνυν ἐν Ῥόδῳ, καὶ τὰς εἰς ἡμᾶς ἐπιμελείας αὐτοῦ καὶ τιμὰς ἀρκετὰς ἡγήσαιτ᾽ ἄν τις ἰδίαν ποιήσασθαι συγγραφήν· πλὴν ἐπείπερ ἐγράφησαν ἐν τοῖς οὐρανοῖς, εἴ γε μηδὲ ψυχροῦ ποτηρίου δόσις ἄμισθος παρὰ τῷ θεῷ, τοῖς ἐφεξῆς προσβησόμεθα τὰ πολλὰ τὸν δρόμον ἐπιταχύνοντες. ἔν τινι*

περιφανεστέρᾳ μονῇ τῶν ἐκεῖ περὶ τον Ἀρταμύτην — ὄρος τοῦτο ῥᾴδιον — ἱδρυμένῃ προσοικιζόμεθα. βίβλων ἐν ταύτῃ πληθὺς εὐγενῶν. τά τ᾽ ἐγγὺς αὐτῆς καὶ περὶ αὐτὴν ἀθόρυβα πάντῃ καὶ δέους ἀμέθεκτα. τούτοις καὶ νύκτα καὶ μεθ᾽ ἡμέραν ἐνδιατρίβοντες καὶ τῇ τῶν βίβλων ἀναγνώσει καὶ τοῖς ἄλλοις ὅσα μοναστοῖς οἰκεῖα κατὰ προαίρεσιν προσανέχοντες, δύσεργον ἔχομεν εἰπεῖν ὅσης θυμηδίας ἐνεφορούμεθα. τοιαῦτα διαπράξασθαι πρὸς ἡμᾶς ἄνδρα κατέπεισεν ἡμῖν ἀγνῶτα παντέπασιν ὁ ἡμέτερος κηδεμών.

XII. Ἐπεὶ δὲ τῷ Καίσαρι τὸ ἄρχειν οὐκ ἐκ τοῦ κράτους ἦν ἀλλὰ πατρικὸν κληροδότημα, κατὰ διαδοχὰς ἐκ προγόνων ἐς αὐτὸν διαβεβηκὸς οὐδὲ τῷ καθυπείκειν τῷ κράτει, προσῆν τὰ κατ᾽ αὐτὸν διεξάγειν, τάς τε νήσους — πολλῶν γὰρ ἦρχε — καὶ τοὺς ὁπλίτας — πολλῶν γὰρ ἡγεῖτο — καὶ τὰ περιπίπτοντα, καθὼς ἂν βούλοιτο, καὶ συμμαχεῖν μὲν εἴπερ αἱροῖτο, κατ᾽ ἐπιταγὴν δὲ πράττειν οὐδέν. ἐπὶ τούτοις χαλεπαίνων ὁ βασιλεὺς ἐκπέμπει [fol. 242r] στράτευμα | πολυπληθὲς ἐν τριήρεσιν, ἵν᾽ αὐτὸν κατάσχοιεν οὗτοι καὶ ἀγάγοιεν. παραστησάμενοι τὴν πόλιν ᾗ κατωχύρωτο, καὶ παραλύσειαν τῆς ἀρχῆς. τοῦ δὲ μὴ τετελεσμένου τὴν πᾶσαν ληΐζονται χώραν ἀπάγουσί τε τῶν λαῶν ὅσους εὗρον ἔξω τειχῶν. διὸ καὶ τῇ μονῇ ταὐτὰ δρῶσιν, ᾗ προσῳκίσμεθα, καὶ τοῖς ἐν αὐτῷ, πρὸς ἡμᾶς δὲ μή τι κεκελευσμένοι βίαιον εἰ καὶ μὴ προσηνεῖς ἅπαν ἐνδείξασθαι τὸν μὲν τόπον ἀφύλακτον εἶναί φασι καὶ ἀπίστευτον, ὥσπερ ἦν τῶν οἰκητόρων ἐστερημένος, τὰ δὲ τῆς θαλάττης μέρη κινδυνώδη, πρὸς ἅπερ ὁρμῶμεν, διὰ τὴν τῶν πειρατῶν

21 παραλύσειαν] παραλύσειε M

ἔφοδον καὶ περίπλοιαν, καὶ μηδὲν ἕτερον ἡμῖν ἔχειν τὸ ἀσφαλὲς ἢ τὴν πρὸς τὰ ἐν οἷς ἦμεν πρῴην συνάρσεσιν αὐτῶν παλιννόστησιν. πειθόμεθα τοιγαροῦν τῇ ἀνάγκῃ πλέον ἢ τοῖς εἰποῦσι καὶ τὰ περὶ τὴν Ἔφεσον αὖθις ἀπράκτους τοῦ κατὰ σκοπὸν ἡμᾶς ὑποδέχεται.

XIII. Λογίων δὲ τῷ τηνικάδε κατὰ τὴν τῆς Βιθυνίας μητρόπολιν Νίκαιαν ἐκ τῆς ῥωμαϊκῆς ἐπικρατείας ἐνδεδημηκότων ἀνδρῶν καί τινων ἐκ ταυτησὶ τῆς ἑλληνίδος συνηθροισμένων διὰ τὸ ἀμφήριστον δόγμα καὶ αὐτοὶ τῷ τῶν ὑπερεχόντων ἀγόμεθα βουλήματι πρὸς τὸν κοινὸν ἀθροισμόν. καὶ δὴ τῶν μερῶν ἑκατέρων ἐς ταὐτὸ συνεληλυθότων ὁ τῶν φιλοσόφων ὕπατος ὁ Καρύκης αὐτουργὸς τοῦ μετὰ τῶν Ῥωμαίων διαλόγου καθίσταται, τῶν ἄλλων πάντων προκεκριμένος καὶ μάλιστα παρὰ τοῦ κρατοῦντος· παρῆν γὰρ καὶ οὗτος τῇ συνελεύσει. καὶ πολλῶν λόγων κεκινημένων ὑπὸ τῶν ἀντιφερομένων ὡς τὸ εἰκός, τέλος ἔφασαν οἱ τῆς Ῥώμης ὅτι ʽτὸ πνεῦμα τὸ ἅγιον ὁ ἀπόστολος πνεῦμα καλεῖ τοῦ υἱοῦ· καὶ πρότερον ὁ κύριος πνεῦμα κατωνόμασε τῆς ἀληθείας αὐτό, φάμενος εἶναι τὴν ἀλήθειαν ἑαυτόν. εἰ οὖν πνεῦμα τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, πάντως ἐκ τοῦ υἱοῦ.᾽ πρὸς τοῦτο τοιαύτη ἀπάντησις. ʽἐπεὶ παρὰ τοῦ υἱοῦ δί- [fol. 243r] δοται τοῖς ἀξίοις τὸ πνεῦμα τὸ ἅγιον ἢ κἀπειδήπερ ὁμοούσιον τῷ υἱῷ, διὰ ταῦτα πνεῦμα τοῦ υἱοῦ προσηγόρευται.᾽ καὶ οἱ ἐκ Ῥώμης· ʽἐγχρόνως ἢ προαιωνίως πνεῦμα τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον᾽; ἐντεῦθεν ὅτι προαιωνίως. ἐκεῖθεν τοιαύτη κατασκευή· ʽπνεῦμα τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ἢ ὅτι παρὰ τοῦ υἱοῦ

5 αὖθις] om. L ‖ 9 ἑλληνίδος] ἑλλάδος V ‖ 10 τῷ om. L ‖ 14 καθίσταται] καθίστατο L

χορηγεῖται τοῖς κτίσμασιν ἢ ὡς ὁμοούσιον τῷ υἱῷ ἢ ὡς ἐκπορευόμενον ἐξ αὐτοῦ. ἀλλ' οὐ τὸ πρῶτον, ὅτι τὸ μὲν προαιωνίως πνεῦμα τοῦ υἱοῦ, τὰ δὲ γεγόνασιν ὕστερον· οὐ τὸ δεύτερον, ἐπεὶ καὶ ὁ πατὴρ ὁμοούσιος ὢν τῷ υἱῷ λέγοιτ' ἂν καὶ οὗτος πνεῦμα τοῦ υἱοῦ· λείπεται τοίνυν ὡς ἐκπορευόμενον ἐκ τοῦ υἱοῦ πνεῦμα τοῦ υἱοῦ λέγεσθαι τὸ πνεῦμα τὸ ἅγιον.' πρὸς ταῦτα λέγειν ὁ τῶν φιλοσόφων ὕπατος οὐκ εἶχεν οὐδὲν καὶ ἦν ἀμηχανῶν τε καὶ σιωπῶν.

XIV. Ἡμεῖς οὖν ἔκ τε τοῦ κρατοῦντος ἔκ τε τοῦ πατριαρχοῦντος ἀπολογήσασθαι πρὸς ταῦτα ζητοῦντες ἐκχώρησιν οὐ λαμβάνομεν, ἴσως διὰ το τῆς ἐκβάσεως ἄδηλον. ὁ γοῦν ὕπατος ἐπὶ τῷ συμβεβηκότι καταισχυνθείς, οὐκ ἔχων ὅ,τι καὶ δράσοι λοιπόν, αἰτεῖται γραφῆναι καὶ δοθῆναί οἱ τὰ εἰρημένα· καὶ γράφεται καὶ δίδοται καὶ ὁ σύλλογος διαλύεται. καὶ ὁ μὲν ὕπατος ἀφανὴς ἔκτοτε, — παρουσία τις οὐκ ἦν αὐτοῦ που τὸ σύνολον — ὁ δὲ πατριάρχης ἐν ἀθυμίᾳ πολλῇ. καὶ γὰρ αὐτὸς ἦν ὁ τῆς διαλέξεως αἴτιος. αὐτὸς ἐπείπερ ἐπεστάλκει τῷ τῆς Ῥωμαίων προέδρῳ πρῶτος ἐπὶ τῷ ζήτησιν γενέσθαι τοῦ τὰς ἐκκλησίας διιστῶντος, εἴ τι ἔστι, καὶ ἀκριβασμὸν καὶ διόρθωσιν. ἐπεὶ δ' ἐκ μέσου κεχώρηκεν ὁ προκεκριμένος προσδιαλέγεσθαι, τὰ τῆς ἀπολογίας, τῶν τῆς ἐκκλησίας λογάδων ἀπειπαμένων, χωρεῖ πρὸς ἡμᾶς. καὶ δὴ ταῦθ' ὡς ἔξον ἐκτιθέμεθα πρόχειρά τε καὶ σχέδια, τοῦ καιροῦ κατεπείγοντος, καὶ τοῖς πολλοῖς οὐ δυσξύνετα, πρότερον τὸ πρῶτον τῆς τῶν ἀντιθετούντων ὑποφορᾶς ὡς ἡ τάξις ἐκείνοις

4 ἐπεὶ] ἐπειδὴ L ‖ 7 τοῦ υἱοῦ λέγεσθαι] λέγεσθαι τοῦ υἱοῦ V ‖ 17 ἀφανὴς] ἀφανὴς ἦν L ‖ αὐτοῦ] αὐτῷ L ‖ 21 τὰς] τῆς V ‖ 28 ὑποφορᾶς] φορᾶς (ὑπο sec. m.) L

ἀνασκευάζοντες. τὸ δή περ· 'εἰ προαιωνίως πνεῦμα τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, οὐ, διότι παρ' αὐτοῦ τοῖς κτίσμασι δίδοται, διὰ τοῦτο πνεῦμα τοῦ υἱοῦ λέγοιτ' ἄν· ὑστερογενῆ γὰρ τὰ κτίσματα.'

XV. Τί γὰρ τῶν ἀδυνάτων ἀνθυποφέρομεν, προαιωνίως μὲν εἶναι τὸν υἱὸν δοτῆρα τοῦ πνεύματος καὶ ταύτην ἔχειν οὐσιώδη τὴν τελειότητα, — καὶ γὰρ οὐδὲν ἀτελὲς ἐν θεότητι — τὰ δὲ λαμβάνοντα κατὰ καιροὺς ἰδίους μετέχειν τῆς δωρεᾶς; εἰ μὲν γὰρ ἐπίκτητον ἦν τῷ υἱῷ τὸ διδόναι τὴν χάριν τοῦ πνεύματος, ἴσως ἂν εἶχέ τινα χώραν μετὰ τῆς ἀλογίας καὶ τῆς βλασφημίας τὸ ἄπορον· ἐπεὶ δὲ τὸ διδόναι φυσικῶς αὐτῷ καὶ κατ' οὐσίαν, ὅτι περ ἄλλως οὐ χρή, — συμβεβηκὸς γὰρ οὐδὲν ἐν θεότητι — καὶ μηδενὸς τοῦ λαμβάνοντος ὄντος δοτὴρ ἔστι τῆς χάριτος προαιωνίως καὶ ἀϊδίως ὁ υἱός. οὐδὲ γὰρ τῶν λαμβανόντων δέοιτ' ἂν εἰς τὸ τοῦ πνεύματος εἶναι δοτήρ, διότι δοτὴρ αὐτοῦ γεγέννηται παρὰ τοῦ πατρός, ὡσπερεὶ καὶ τῶν κτισμάτων δημιουργός· εἶεν ἂν οὖν ὑστερογενῆ μὲν τὰ λαμβάνοντα τὸν ἁγιασμόν, ὁ δ' αὐτοῦ δοτὴρ προαιωνίως δοτήρ, καθὼς καὶ προαιωνίως δημιουργός, εἰ καὶ τὰ δημιουργήματα τότε δεδημιούργηκεν, ὅτε δημιουργῆσαι ταῦτα δεῖν ἔκρινε. μὴ ὢν γὰρ προαιωνίως δοτὴρ τοῦ πνεύματος καὶ προαιωνίως τῆς κτίσεως δημιουργός, οὐδ' ὑστέρως δεδύνοιτ' ἂν ἢ τὸ πνεῦμα διδόναι τοῖς ἀξίοις ἢ παράγειν ἐξ οὐκ ὄντων τὰ κτίσματα. τούτων οὕτω διατετρανωμένων οὐκ ἄπο λόγου τὸ καλεῖσθαι πνεῦμα τοῦ υἱοῦ το πνεῦμα τὸ ἅγιον ὡς τῇ κτίσει διὰ τοῦ υἱοῦ χορηγούμενον. διὰ τοῦ υἱοῦ δέ φαμεν καὶ τὴν χορηγίαν τοῦ

6 εἶναι] om. M ‖ 11 καὶ τῆς] καὶ V ‖ 22 ταῦτα δεῖν ἔκρινε] προείλετο L ‖ 24 sq. ἂν ἢ] ἂν ... L

πνεύματος, ἐπὶ τὴν πρώτην μεμαθηκότες ἀναφέρειν αἰτίαν πάντα τὰ τοῦ μονογενοῦς· ʻοὐ δύναμαι γὰρ ἐγώʼ φησι ʻποιεῖν ἀπʼ ἐμαυτοῦ οὐδένʼ.[1])

XVI. *Πρὸς τὸ δεύτερον τῆς τῶν ἀντικαθισταμέ-*
fol. 244r *νων προαγωγῆς | — τὸ δʼ ἦν· εἴ περ ὡς ὁμοούσιον τῷ υἱῷ τὸ πνεῦμα καλεῖται πνεῦμα τοῦ υἱοῦ, καλοῖτʼ ἂν πνεῦμα τοῦ υἱοῦ καὶ ὁ πατήρ, ὁμοούσιος ὢν τῷ υἱῷ καὶ αὐτός — οὕτω λέγομεν· ʻἡ μὲν ὁμοουσιότης κοινὴ ταῖς τρισὶ τῆς θεότητος ὑποστάσεσιν, ἰδιότητες δὲ τὸ πατὴρ τοῦ γεννῶντος, τὸ υἱὸς τοῦ γεννωμένου, τὸ πνεῦμα τοῦ ἐκπορευομένου. διὸ καὶ ἀναγκαῖον, τῆς ὁμοουσιότητος κινουμένης ἐντὸς ὧν ἐστιν ὡς κοινότητος, ἀκινήτους ἀεὶ μένειν τὰς ἰδιότητας. ἐκ μὲν γὰρ τῆς κοινότητος τῇ τριάδι τὸ ἀδιαίρετον, ἐκ τῶν ἰδιοτήτων δὲ τὸ ἀσύγχυτον. πῶς οὖν τὸ τοῦ ἑνὸς ἴδιον γένοιτʼ ἂν αὐτῷ τε καὶ ἄλλῳ κοινὸν καὶ οὐχὶ τὸ ἴδιον οὐκ ἴδιον καὶ οὐχὶ σύγχυσις; ὁ πατὴρ ὁμοούσιος τῷ υἱῷ, πάντοτε δὲ πατήρ, καὶ οὐκ ἂν κληθείη ποτὲ πνεῦμα τοῦ υἱοῦ, ἀλλὰ τοῦ υἱοῦ μέν, πατὴρ δέ, φυλάττων τὴν αὐτοῦ ἰδιότητα. τὸ δὲ πνεῦμα τὸ ἅγιον ὡς μὲν ὁμοούσιον τῷ υἱῷ τοῦ υἱοῦ λέγοιτʼ ἄν, ὡς δὲ πνεῦμα διὰ τὴν ἰδιότητα πνεῦμα· συνελθουσῶν δʼ ἐς ταὐτὸ τῆς ἰδιότητος καὶ τῆς κοινότητος, πνεῦμα τοῦ υἱοῦ. καὶ τί τὸ ἄτοπον, εἰ καὶ ὡς ὁμοούσιον τῷ υἱῷ τὸ πνεῦμα τὸ ἅγιον εἴποι τις πνεῦμα τοῦ υἱοῦ; τὸ μὲν οὖν καλεῖται καὶ πνεῦμα τοῦ πατρὸς καὶ πνεῦμα τοῦ υἱοῦ, μηδὲ μιᾶς ὑπόληψιν ἀτοπίας ἐπιφερομένων τῶν κλήσεων· οὐκ ἔστι δὲ καὶ ἀντιστρόφως·*

[1]) Joh. V 30.

9 ὑποστάσεσιν] ὑποστάσιν M | 13 μένειν] διαμένειν V | 18 καὶ — 19 δὲ] om. V | 21 sq. ὡς δὲ] τὸ δὲ V | 23 δʼ ἐς ταὐτὸ] δὲ ἐς ταυτὸ τὸ L δʼ ἐν ταύτῃς V | 24 εἰ καὶ ὡς] εἰ καὶ M εἰδὼς L

ἐπεὶ τὸ πνεῦμα λέγεται πνεῦμα τοῦ πατρός, καὶ τὸν πατέρα λεχθῆναι πατέρα τοῦ πνεύματος, ἵνα μή τις ὑποτοπάσῃ καὶ τὸ πνεῦμα υἱόν· υἱοῦ γὰρ πατὴρ ὁ πατήρ· οὔτε μὴν ὅτι τὸ αὐτὸ πνεῦμα καλεῖται πνεῦμα τοῦ υἱοῦ, κληθῆναι καὶ τὸν υἱὸν υἱὸν τοῦ πνεύματος, ἀλλʼ ὁ πατὴρ ἐξ οὗ τὸ πνεῦμα ἐκπορεύεται καὶ ὁ υἱὸς διʼ οὗ αὐτὸ ἐκφαίνεται καὶ παρέχεται. τὸ δʼ ἐκπορεύεσθαι τρόπος ὀντότητος, οὐ δηλοῦν ἐξέλευσιν ὡς τὸ ʻποταμὸς ἐξ Ἐδὲμ ἐκπορεύεταιʼ καὶ εἴ τί που παραπλήσιον, ἀλλʼ ὕπαρξιν φυσικὴν ἑτέραν παρὰ τὴν γέννησιν. | ὡς οὖν οὐκ ἔστι τὸ πνεῦμα κληθῆναι τοῦ fol. 244v
πατρὸς υἱὸν ἢ πατέρα τοῦ υἱοῦ, — πατρὸς γὰρ υἱὸς ὁ υἱός — οὕτως οὐδὲ τὸν υἱὸν ἢ τὸν πατέρα, τὴν τοῦ πνεύματος ἐπισπασαμένους ἰδιότητα, τὸν μὲν κληθῆναι πνεῦμα τοῦ πατρός, τὸν δὲ πνεῦμα τοῦ υἱοῦ. πατὴρ δʼ ἔσται διηνεκῶς ὁ πατήρ, υἱὸς ὁ υἱός, πνεῦμα τὸ πνεῦμα, τῶν ἰδιοτήτων ἀκινήτων ἐν οἷς εἰσι μενουσῶν. εἰ δὲ πνεῦμα κατὰ τὴν τοῦ κυρίου φωνὴν ὁ θεὸς ἢ καὶ αὐτὸς ὁ κύριος, ἀλλὰ διὰ τὸ ἄϋλον εἴρηται καὶ πάσης ἐξῃρημένον αἰσθήσεως καὶ παντελείως νοερόν· — πολυσήμαντον γὰρ τοὔνομα· — τὸ δʼ ἀφωρισμένον τῷ ἐκπορευομένῳ παρὰ τοῦ πατρὸς οὔποτε κληρώσαιτʼ ἂν ὁ πατὴρ οὔτε μὴν ὁ υἱός, ἀλλʼ αὐτῷ καὶ μόνῳ τῷ ἐκπορευομένῳ παρὰ τοῦ πατρὸς μενεῖ παναικλινῶς ἀεὶ καὶ παναρρεπῶς.

XVII. *Τὰς τῶν δύο γοῦν τοῦ τῶν ἀντιλεγόντων διεζευγμένου μερῶν ἀναιρέσεις ἀνασκευάσαντες, τὸ μὲν*

3 ὑποτοπάσῃ] ὑποτοπάσοι M ‖ 7 δʼ] δὲ L | 8 τὸ] om. V | 11 τοῦ] om. L | 12 πατέρα τοῦ] om. L | 16 δʼ ἔσται] δὲ ἔσται L | 22 οὔποτε] οὔποτʼ ἂν V (ἄν τι, ου suprascr.) | 26 τῶν δύο] δύο L | 27 διεζευγμένου] διεζευγμένων L | μερῶν om. L | ἀνασκευάσαντες] κατασκευάσαντες L παρασκευάσ. V

οὐκ ἔγχρονον δοτῆρα τοῦ πνεύματος δείξαντες τὸν υἱὸν ἀλλὰ προαιώνιον. ἐπεὶ κατ᾽ οὐσίαν, εἰ καὶ τὰ κτίσματα πρόσφατα. τὸ δ᾽ ὡς οὐ δύναταί τις ὑπόστασις ἑτέρας ὑποστάσεως ἰδιότητα σφετερίσασθαι, κἂν ἡ κοινότης κινοῖτο πολυστρόφως, ἐν οἷς ἐστι, παραστήσαντες. οὐδεμίαν ἐῶμεν παρείσδυσιν ἔχειν τὸ τοῦ ἑπομένου τρίτον καὶ εἰσαγόμενον. λέγεται καὶ πνεῦμα Χριστοῦ καὶ νοῦς Χριστοῦ τὸ πνεῦμα τὸ ἅγιον. Πέτρος μὲν γὰρ τῶν προφητῶν μεμνημένος οὕτω φησί· 'τὸ ἐν αὐτοῖς πνεῦμα Χριστοῦ.'[1]) Παῦλος δὲ λέγει Φιλιππησίοις· 'διὰ τῆς ὑμῶν δεήσεως καὶ ἐπιχορηγίας τοῦ πνεύματος Ἰησοῦ Χριστοῦ'[2]) Ῥωμαίοις· 'εἴ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ.'[3]) Κορινθίοις δὲ προειπών· 'ἡμεῖς οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ θεοῦ' παρακατιὼν 'ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν'[4]) βοᾷ. Χριστοῦ νοῦν ὀνομάζων ὅπερ εἴρηκε τὸ πνεῦμα τὸ ἐκ τοῦ θεοῦ. τὴν τοῦ ῥητοῦ τοιαύτην ἐκδοχὴν κἀν τοῖς ἐν θεηγορίᾳ περιβοήτοις εὑρίσκομεν. οὐ τοίνυν ὅτι πνεῦμα Χριστοῦ καὶ ὅτι νοῦς Χριστοῦ τὸ πνεῦμα τὸ ἅγιον, διὰ τοῦτο κἀκ τοῦ Χριστοῦ καθάπερ ἐκ τοῦ θεοῦ. ποῦ γὰρ εἴρηται τοῦτο; νοῦς ἐνταυθοῖ καὶ πνεῦμα ταὐτόν ἐστιν. ὁ τοίνυν νοῦς, ᾗ νοῦς, οὐκ ἐκ τοῦ ἔχοντος αὐτὸν
f. 207r ὑφέστηκεν, ἀλλ᾽ ἐν αὐτῷ ἐστιν οὐσιωδῶς. καθὼς | ὁ αὐτὸς ἀπόστολος μαρτυρεῖ 'τίς οἶδεν ἀνθρώπων τὰ

1) 1. Petr. I 11 2) Phil. I 19 3) Rom. VIII 9 4) 1. Cor II 12. 16

1 οὐκ] ὡς οὐκ L | 3 τις] om. L ‖ 4 ἑτέρας] ἑτέρας τινος L 5 κινοῖτο] κοινοῖτο M ‖ 12 τοῦ πνεύματος] om. V ‖ 14 ἡμεῖς] ἡμεῖς δὲ L ‖ 16 sq. Χριστοῦ νοῦν] νοῦν χριστοῦ V | 17 τὸ πνεῦμα τὸ ἐκ τοῦ θεοῦ] πνεῦμα τὸ ἐκ τοῦ θεοῦ MV τὸ πνεῦμα τὸ ἅγιον L ‖ 18 ῥητοῦ] υἱοῦ V | ἐν] om. V ‖ 20 νοῦς] νοῦν M

τοῦ ἀνθρώπου', λέγων. 'εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ';[1]) οὐκ εἶπε 'τὸ ἐξ αὐτοῦ' ἀλλὰ 'τὸ ἐν αὐτῷ.' τὸ μὲν οὖν εἶναι πνεῦμα τοῦ υἱοῦ καὶ πνεῦμα Χριστοῦ καὶ νοῦν Χριστοῦ τὸ πνεῦμα τὸ ἅγιον τῷ γεγεννῆσθαι συνᾴδει τὸν υἱὸν παρὰ τοῦ πατρὸς δοτῆρα κατ᾽ οὐσίαν προαιωνίως τοῦ πνεύματος, ὥσπερ ἔφαμεν. εἰ μὴ γὰρ τοῦ υἱοῦ πνεῦμα καὶ Χριστοῦ πνεῦμα καὶ Χριστοῦ νοῦς ὡς υἱοῦ τοῦ θεοῦ τὸ πνεῦμα τὸ ἅγιον, πῶς ὁ υἱὸς δώσει αὐτό, μὴ ἔχων αὐτὸ θησαυρόν, ἵν᾽ οὕτως εἴποιμεν, ἐν αὐτῷ μένοντα ζῶντα καὶ ἔμφυτον; τὸ δὲ παρὰ τοῦ πατρὸς τὸν υἱὸν ἔχειν τὸν θησαυρὸν οὐσιωδῶς, οὐκ ἐπεισάκτως, τηρεῖ τὸ αἴτιον κυρίως αἴτιον καὶ τὸ αἰτιατὸν κυρίως αἰτιατόν. τὸ δ᾽ ἐξ ἀμφοῖν τοῦ τε πατρὸς καὶ τοῦ υἱοῦ τὴν ὕπαρξιν ἔχειν τὸ πνεῦμα τὸ ἅγιον οὔτε μόνον τὸν πατέρα δείκνυσιν ἀρχὴν καὶ ῥίζαν καὶ πηγὴν τῆς θεότητος, καθάπερ ἐστίν, οὔτε τὸν υἱὸν ἔχοντα πάνθ᾽ ὅσα περ ἔχει παρὰ πατρός. καὶ πῶς λοιπὸν υἱὸς ἀτρεκῶς; ἢ πῶς ἐκεῖνος πατὴρ ὁλικῶς; εἰ δέ τις ἐρεῖ καὶ τὸ αἴτιον εἶναι τοῦ πνεύματος ἢ τρόπον τινὰ συναίτιον τῷ πατρὶ παρὰ τοῦ πατρὸς ἔχειν τὸν υἱόν, λέληθεν ἑαυτὸν ἐκεῖνο προσάπτων τῷ υἱῷ παρὰ τοῦ πατρὸς ὃ μὴ πέφυκε. ποῦ γὰρ ἔχει φύσιν τὸ αἴτιον, ὃ μόνῳ τῷ πατρὶ ἀφωσίωται, συμμεμερίσθαι πως τῷ πατρί τε καὶ τῷ υἱῷ; πῶς δέ, καὶ τῆς ὑπάρξεως τοῦ υἱοῦ τελείας οὔσης καὶ ἀνενδεοῦς παρὰ τοῦ πατρός, ἡ τοῦ πνεύ-

1) 1. Cor. II 11

3 υἱοῦ] χριστοῦ L ‖ 4 πνεῦμα Χριστοῦ] πνεῦμα υἱοῦ L καὶ νοῦν — ἅγιον] τὸ πνεῦμα τὸ ἅγιον καὶ νοῦν χριστοῦ L ‖ 5 συνᾴδει] om. V ‖ 8 Χριστοῦ νοῦς] νοῦς χριστοῦ V ‖ 11 τὸν υἱὸν] post θησαυρὸν (v. 12) L ‖ 18 παρὰ] παρὰ τοῦ V ‖ 22 προσάπτων] προσώπων M συνάπτων V ‖ 24 ἀφωσίωται] ἀφοσίωται M | τε] om. L ‖ 26 παρὰ τοῦ] παρὰ V

ματος ὕπαρξις οὐ τελεία παρὰ τῆς αὐτῆς φυσικῆς ἀρχῆς, ἀλλὰ δέοιτ' ἂν τὸ πνεῦμα τοῦ εἶναι καὶ παρὰ τοῦ υἱοῦ; τελεία μὲν οὖν καὶ ἡ γέννησις, τελεία καὶ ἡ ἐκπόρευσις ἐκ τοῦ αὐτοῦ. καὶ μόνος ὁ πατὴρ αἴτιος, ὁ δὲ υἱὸς καὶ τὸ πνεῦμα μόνως αἰτιατὰ καὶ λίαν εἰλικρινῶς. ὁμοτίμως ἐκ τοῦ πατρος ὁ μὲν γεννώμενος, τὸ δ' ἐκπορευόμενον, ὥσπερ ἐκ τῆς πηγῆς τὸ ὕδωρ γεννᾶται καὶ τὸ πνεῦμα πρόεισι συνημμένον τῷ ὕδατι φυσικῶς· πηγὴ δέ ἐστιν ἡ πρώτη καὶ κρυφία τοῦ ὕδατος ἀρχή. τὸ δ' ἐν ὕδατι πνεῦμα εἶναι καὶ ἡ ἀναθυμίασις δείκνυσιν ἐναργῶς. καὶ μή τις ἐπηρεαστὴς ἐπιφυέσθω τῷ ὑποδείγματι τὴν ἀναθυμίασιν γίνεσθαι λέγων ἐξ ὕδατος· περὶ γὰρ ὑπάρξεως ἀλλ' οὐ περὶ φανερώσεως διαλαμβάνομεν. οὐκ ἐξ ὕδατος δὲ | [fol. 25v] κέκτηται τὸ πνεῦμα τὴν ὕπαρξιν, ἀλλ' ἐκ πηγῆς ὂν ἐν ὕδατι φυσικῶς ἀναθυμιώμενον φανεροῦται καὶ δίδωσι πίστωσιν τοῖς ὁρῶσιν, ὅτι περ ἐν ὕδατι καὶ πρὸ τῆς ἀναθυμιάσεως ἦν οὐσιωδῶς ἀπὸ τῆς πηγῆς, ὅθεν δὴ καὶ τὸ ὕδωρ αὐτό.

XVIII Τὰ γοῦν τῆς ἀπολογίας ὡς ἐνεχώρει διαπεράναντες, τοῖς μὲν ἐν τῇ καθ' ἡμᾶς μοίρᾳ καὶ λόγου μετόχοις καὶ συνέσεως αἱρετά, τοῖς δ' ἀντιφερομένοις ἀπρόσβλητα δόξαντα, τῆς πατριαρχικῆς ἀθυμίας ἐντιπεριηγμένης ἐς τοὺς ταύτης προξένους ὡς ἔπρεπε, μεταχωροῦμεν ἐκ τῆς Νικαέων ἐς τὰ κατ' Ἔφεσον. καὶ τὸ μοναδικὸν σχῆμα τέλειον ἐσάπαξ ἀμετονομάστως καὶ τὸ τῆς ἱερωσύνης χρῖσμα μετὰ βραχὺ παρὰ τοῦ προϊσταμένου δεξάμενοι, τῇ συνήθει καὶ πάλιν ἡσυχίᾳ καὶ

3 οὖν καὶ] οὖν L ‖ 7 δ'] δὲ L ‖ 13 ἀλλ' om. V ‖ 19 αὐτὸ] αὐτο καὶ μεθ' ἕτερα φησὶ ταῦτα L ‖ 20 Τὰ γοῦν — S. 75, 6 ἀντιφορᾶς ταῦθ'] om. L Τὰ γουν — 74, 18 σφοδρότεραι] om. V

μονώσει μέχρι μακροῦ προσανέχομεν. αἴφνης δὲ κίνδυνος ἐς ζωὴν ἐξ ἐπιβουλῆς ἄφυκτος διὰ σφαγῆς ἡμῖν ἐπεγείρεται καὶ σωτηρία τελεῖται παρὰ κυρίου τεράστιος, ὡς ὅτε τὸ ξίφος ὁ δαιμονῶν κατὰ τῶν ἡμετέρων ἐγκάτων διήλασε μέν, οὐκ ἔπληξε δέ. καὶ ὅτε τῶν ἀντικειμένων διττῶν ἀναιρέσεων τῶν ἐκ τῶν χειρόνως δαιμονώντων ἀντιγενῶν παρὰ τοῦ σώζοντος λελυτρώμεθα, τῶν ἀξυμβλήτως ὀλεθριωτέρων ὡς τῆς κρείττονος ἀπαγουσῶν, τῆς ἀκαταλύτου καὶ ἀπαύστου ζωῆς, ἢ τῆς κατ' αἴσθησιν, τῆς πάντως γε καταλυομένης καὶ παυομένης. ἐκ τῶν ἐγκοσμίων τῷ γενέτῃ πρὸς ἄλλους τόπους ἡ μετάβασις ἀνυπέρθετος καὶ ἡμῶν ἡ θέα κατὰ τὴν διάστασιν περισπούδαστος, τὸ μὲν διὰ τὴν φύσιν ἁπλῶς, τὸ δ' ὅτι καὶ τῶν ἐξ αὐτοῦ προλελοιπότων ἀωρὶ τὸ βιώσιμον μόνοι τῶν ὅλων ὑπολελείμμεθα. τῶν ἔγγιστά τε καὶ καθ' αἷμα παρῆν οὐδείς. ὅθεν ἐκείνῳ συνᾴδων ὑπὸ τοῦ συμπαθοῦς κεκινημένος καὶ ὁ προϊστάμενος ἦν. ἀλλ' ἡμεῖς αὐτὸν παραιτούμεθα τοῦ τῆς φύσεως κυριεῦσαι νόμου, τὸν τῆς ἀποταγῆς καὶ μακρῶν εἰς τοῦτο μὴ δεδεημένοι λόγων εἰσακουόμεθα· ταὐτὰ μετέπειτα κἀπὶ τῇ γειναμένῃ διενεργοῦνται καὶ τοῖς παρευρημένοις αἱ λήξεις διαμερίζονται. συνωθούντων δέ τινων ἡμᾶς εἰς τὴν τῶν διηρπασμένων ἀναζήτησιν καὶ εἰς ἑαυτοὺς ἀποκατάστασιν οὕτως ἔφαμεν· 'οὐ τὰ τῶν ἐν γῇ γεννητόρων κληρονομῆσαι [fol. 26r] βουλόμεθα, κληροδοσίαν δ' αἰτοῦμεν ἐκ τοῦ ὑψίστου πατρός.' οὕτως εἰπόντες ὡς εἴχομεν γνώμης καὶ σφραγισάμενοι τῇ πράξει τὸν λόγον, ἀπαραθεωρήτως πολλαπλάσια λαμβάνομεν ἐνταυθοῖ τῶν ὧν παρεθεωρήσαμεν. ὁ δὲ τῶν ἄνω κατηξιωμένος εἴσεται τὰ διδόμενα μέτρον οὐδ' ὅλως ἐπιδεχόμενα.

XIX. *Καὶ οἱ μὲν ἐκ Νυμφαίου πρὸς τὰ σφίσιν αὐτοῖς ἀποτεταγμένα σκηνώματα μεταβαίνουσιν. ἡμεῖς δ᾽ ἐξ Ἐφέσου πρὸς Παλαιστίνην ὁρμῶμεν καὶ πόθον ἀρχαῖον ἀποπληροῦμεν καὶ τετανικοῦ πάθους ἀπαλλαττόμεθα. κἀκεῖθεν ἐπανιόντες καὶ τὴν τοῦ προεστηκότος ὁσίαν ὁσιοπρεπῶς ἐκτελέσαντες καὶ πᾶσαν αὐτοῦ κέλευσιν περατώσαντες καὶ πολλαῖς καὶ βαρείαις προσομιλήσαντες θλίψεσιν ἔν τε τοῖς δυσμικωτέροις εἵνεκα βίβλων ἀναδιφήσεως καὶ διεξελεύσεως ὧν πρώην πεῖραν οὐκ ἔσχομεν ἀφιγμένοι καὶ πολυμετρήτου παρὰ τῶν ἄρχειν ἐκεῖσε λαχόντων ἀπολελαυκότες φιλοφροσύνης — ἀντιμετρήσαι κύριος αὐτοῖς ὡς οἶδεν οὗτος τοῖς εὖ ποιοῦσιν ἀντιμετρεῖν — καὶ τοῦ σκοποῦ τετυχηκότες ὡς οὐκ ἔδει βελτιόνως καὶ αὖθις γεγενημένοι πρὸς τὰ κατ᾽ Ἔφεσον, ἡσυχίας δείμασθαι καταγώγιον προθυμούμεθα. καὶ γῆν ἐν τοῖς Ἠμαθίοις εὑρηκότες ἀπερρηγμένην οἷον τῆς ὁμοχώρου ψαλμικῶς εἰπεῖν ἔρημον, ἄβατον, ἄνυδρον, αἰσθητῶν θηρίων καὶ νοητῶν ἐνδιαίτημα, κυκλουμένην μὲν συνοικισμοῖς, ἐκ δὲ τοῦ πορρωτέρω, καὶ τὸ μὲν ἐφόδοις λῃστρικαῖς, τὸ δὲ θορύβοις οὖσαν ἀπρόσιτον, ἀλλὰ καὶ λυμαντικῶν ἑρπετῶν καθαρεύουσαν, πρὸς δὲ καὶ δαψιλοῦς μετέχουσαν φωτὸς ἐκ τῆς θέσεως, τῷ συνιστᾶν ἐν ταύτῃ τὸ ἡσυχαστήριον ἐπιβαλλόμεθα. ἐπεὶ δ᾽ ὁ τόπος εἰς οἴκησιν οὐκ εὐφυής, οὐκ εὔθετος ἦν, τὰ βουνώδη ταπεινοῦται, πληροῦται τὰ φαραγγώδη καὶ τὰ σκολιὰ μὲν εἰς εὐθέα, τὰ τραχέα δὲ πρὸς λεῖα μετασκευάζεται. καὶ διὰ τὸ φωτεινὸν καὶ ἀθόρυβον καὶ δέους ἀπηλλαγμένον ἐξ*

7 περατώσαντες] περαιώσαντες M | 12 ἀντιμετρήσαι] ἀντιμετρῆσαι M

ἰοβόλων, ἐκ κακούργων, πάντα πόνον αἱρούμεθα καὶ τὴν σύστασιν ἐπισπεύδομεν, τὴν μὲν τοῦ Θαυματουργοῦ πατρὸς οἰκοῦντες ἅμα καὶ διιθύνοντες. μή τι δ᾽ ἐκ ταύτης παραχωροῦντες | [f. 246v] νοσφίσασθαι τὸ συνιστάμενον ὡς ἡμέτερον. ἁρπακτήρων γὰρ καὶ ἱεροσυλούντων τὰ τοιαῦτα σπουδάσματα, τυχὸν ὑπὸ τῆς ἐνδείας εἰς ταῦτά τινων ὠθουμένων ὡς οὐκ εὐλόγως εἴποι τις ἄν. ἀλλ᾽ ἡμεῖς καὶ ἀνενδεεῖς ἐς τόσον, ὡς καὶ τῶν ἀναλωμάτων ὑπερβαίνειν πολλῷ τῷ μέτρῳ τὰ παρὰ θεοῦ χορηγούμενα. καὶ τὸ δὴ θαυμαστότερον, ὅτι τῶν ἐν τῇ τοῦ ἔργου καταρχῇ προσόντων ἡμῖν τὰ μὴ παρὰ τὴν ἀπάρτισιν, εἰ μὴ πλείω, τέως γοῦν ἑπταπλάσια, καθὼς ὁ διακελευσάμενος τὴν πρᾶξιν προεπηγγείλατο. τίς αἰτία τὸ λοιπὸν ἀθέσμου βιαιότητος ἢ παρυποσυλήσεως θεοστυγοῦς; φιλοτιμεῖται δ᾽ ἡμῖν ὁ ἡμέτερος ἀρωγὸς καὶ τὸ μηδένα μηδαμῶς τῶν προσταλαιπωρούντων τῷ κτίσματι μὴ πτῶσιν ὑποστῆναι μὴ σύντριμμα, πάντῃ δὲ πάντας ἀκινδύνως τὴν ἐργασίαν ποιήσασθαι.

XX. *Οἱ μὲν οὖν αἰσθητοὶ θῆρες ἄλλοθι τῇ τῶν ἀνθρώπων παρουσίᾳ μεταβεβήκασιν. εἰ δέ τις ἴσως που προσεπέμεινεν, ὡς συνήθης ἦν, ἀδικεῖν μηδένα μηδέποτε προαγόμενος· οἱ δὲ νοητοὶ δυσαποσπάστως εἶχον τῆς οἰκείας ἐπαύλεως. καὶ λίθους μὲν περὶ δυσμὰς ἡλίου καὶ προσωτέρω βάλλοντες ἦσαν, καὶ οἱ παρόντες τούς τε κτύπους ἐς ἀκοὴν εἶχον καὶ τοὺς λίθους ῥιπτουμένους ἐς ὅρασιν, κατὰ νύκτα δὲ τοὺς προστυχόντας ἀδρανέσι μὲν καὶ ἀμενηναῖς ἐπιθέσεσιν ὅμως δ᾽ οὖν διετάραττον, ἕως θεία τις ἐπιτίμησις ὁλοτελῶς αὐτοὺς ἐξαπήλασεν. ἐπεὶ δὲ καὶ ἄνυδρος ἦν ὁ τόπος, ἐμπαρέχει κύριος μετὰ διετίαν τῆς τοῦ δομήματος προκατάρξεως, ἄποθεν αὐτοῦ μὴ πολύ, κρήνην ἀσινῆ,*

διειδεστάτην καὶ μόνιμον, μήτ' ἐν ἐπομβρίαις πληθυομένην μήτε λειπόντων ὄμβρων μειονεκτοῦσαν ἐν ὕδατι. μετὰ τριετίαν τῆς ἐκπληρώσεως — ἐν ἑπτὰ δ' ἐνιαυτοῖς καὶ μησὶν ἐννέα τὸ ἀσκητήριον ἐξαπήρτιστο — δίδωσιν ἑτέραν, οὐκ ἀχειρόκμητον μὲν ὡς τὴν προτέραν παντάπασι, μείζω δ' ἐκείνης καὶ πλησιαίτερον τῆς σκηνώσεως. ἐπορέγουσι δὲ τὸ σεμνεῖον καὶ ὁ πατριαρχῶν καὶ ὁ βασιλεύων. τὸ γνησίως ἀδέσποτον καὶ ἀκραιφνῶς αὐτεξούσιον νεύσει τοῦ κρείττονος. ἀλλὰ ταῦτα μὲν ὕστερον, ὅτε καὶ τὸ φροντιστήριον περιεῖχεν ἡμᾶς. ἔτι δὲ τῇ τοῦ Θαυματουργοῦ προσεδρεύον-fol. 247r τες ἐν ταύτῃ τὴν ἄρχουσαν τῆς αἰσχύνης |, τὴν ἐπ' ἀναιδείᾳ πρωτεύουσαν, ἀπρούπτως εἰσρυεῖσαν καὶ τὸν νεὼν εἰσδῦσαν τῆς μυστικῆς τελουμένης ἱερουργίας, ἐκεῖθεν ἀπεληλακότες ὡς βέβηλον τῷ ταύτῃ πάμπαν ἀποτειχίσαι καὶ ἀποφράξαι τὴν τῶν ἱερῶν ῥημάτων ἀκρόασιν οὐκ ὀλίγαις δυσχερείαις ἐντετυχήκαμεν, αἱ δέ γε συσκευαζόμεναι πλείους ὁμοῦ καὶ σφοδρότεραι· λογίων δ' ἐκ Ῥώμης ἐς αὖθις ἐπὶ συστάσει τοῦ οἰκείου δόγματος ἐπιπεφοιτηκότων ἀνδρῶν. τὰ καθ' ἡμῶν ὠδινόμενα προελθεῖν εἰς φῶς οὐ δεδύνηνται.

XXI. Ζητούμεθα γὰρ καὶ τότε παρεῖναι τῷ συλλόγῳ καὶ πάριμεν. καὶ δὴ τοῦ βασιλεύοντος καὶ τοῦ πατριαρχοῦντος — οὐκ ἦν ὁ τὰ θεῖα σοφὸς Γερμανὸς οὔτε μὴν ὁ πρώτως καὶ ἀμέσως ἐκεῖνον διαδεξάμενος· ἐπ' ὀλίγιστον γὰρ ἐν τῇ προεδρίᾳ καὶ ταῦτα γηραιὸς οὐκ ὢν διαβεβίωκεν ὁ Μεθόδιος· ἀλλ' ὁ μετ' αὐτόν — τούτων καὶ τῆς ἱεραρχικῆς πληθύος ἀγηγερμένων κατὰ τὸ Νύμφαιον, ὁ μετὰ τῶν ἐκ Ῥώμης διάλογος γίνεται. μενόντων ἡμῶν ὡς μὴ λέγειν ἐπιτετραμμένων ἐν σιωπῇ, τῆς διὰ τὴν ἀντιβασιλίδα μενοῦν γε καὶ ὑπερβασιλίδα δυσφορίας, ἐπείπερ ὑπόγυον ἔτι τὸ τόλμημα, μήπω διαλελυμένης ἐς τέλεον. μετὰ πολλὰς οὖν λόγων ἀντιφορὰς ταῦθ' οἱ τῆς Ῥώμης ἐπάγουσιν. 'ὁ πατὴρ ἐνεργεῖ διὰ τοῦ υἱοῦ καὶ διὰ τοῦ πνεύματος ὁ υἱός. ἐπεὶ γοῦν ὁ υἱὸς ἐκ τοῦ πατρός, καὶ τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ.' πρὸς ταῦτα πάντες οἱ τῆς ἱεραρχικῆς ἠπόρησαν ὁμηγύρεως καὶ βαθεῖα σιγὴ κατέσχεν αὐτούς. καὶ ὁ βασιλεὺς ἐπαναλαμβάνων κατά τινα διαστήματα πρὸς τοὺς ἱεράρχας τὰ εἰρημένα σκέψεως αὐτοῖς καὶ ἀπολογίας ἐφιπλου καιρόν· ἀλλ' ἤνυεν ἐντεῦθεν οὐδέν· ἦσαν γὰρ καὶ οὕτως ὅλον δι' ὅλου τὸ συνέδριον ἄφωνοι. κατ' ἀνάγκην οὖν αἰτοῦνται παρ' ἡμῶν αὐτὸς σὺν αὐτοῖς τὴν τῶν προβεβλημένων λύσιν. δρᾶσαί τι μὴ σθένοντες ἕτερον. ἐνστάσει τοίνυν κεχρημένοι καὶ ἀντιπαραστάσει τοιαῦτα πρὸς τοὺς ἐκ Ῥώμης ἡμεῖς ἀντεπάγομεν· 'πρῶτον μὲν ἐν τοῖς εὐαγγελίοις, ἅπερ εἰσὶν ἀρχαὶ τῆς εὐσεβείας καὶ θεμέλιος ἀρραγὴς καὶ ἀμετακίνητος, οὐ γέγραπται τὸ διὰ τοῦ πνεύματος ἐνεργεῖν τὸν υἱόν. ἀλλὰ τὸν μὲν πατέρα διὰ τοῦ υἱοῦ παραδέδοται — πάντα γάρ, φησί, δι' αὐτοῦ ἐγένετο, — τὸν δὲ υἱὸν οὐ διὰ πνεύματος ἀλλ' ἐν πνεύματι, τοῦ κυρίου φάσκοντος πρὸς τοὺς ἀκάθαρτον πνεῦμα λέγοντας ἔχειν αὐτὸν | οὑτωσίν· fol. 247v

1 ἐπομβρίαις] ἐνπομβρίαις M | 7 τὸ σεμνεῖον] τῷ σεμνείῳ M | 15 ἀπεληλακότες] ἐπεληλακότες M | 21 ὠδινόμενα] ὠδινόμεθα V | 22 παρεῖναι] παρῆναι M

6 ἀντιφορὰς] ἐπιφορὰς V | 9 πρὸς ταῦτα — 17 ἡ ἐνστάσει τοίνυν] καὶ ἡμεῖς ἐνστάσει cet. om. L | 10 τῆς] ἐκ τῆς V | 15 ἄφωνοι] ἄφωνον V || 19 ἡμεῖς om. L | 22 τὸν μὲν] τὸν μὲν τὸν M | 23 παραδέδοται] παραδίδοται V | 24 διὰ] διὰ τοῦ V | 26 οὑτωσίν] οὑτωσί ML

'εἰ δὲ ἐν πνεύματι θεοῦ ἐγὼ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ.'[1]) οὐκ εἶπε διὰ πνεύματος. ἀλλ' ἐν πνεύματι. τοῦτο δὲ μόνην τοῦ πνεύματος ἐν τῷ υἱῷ δηλοῖ φυσικήν, ἀλλ' οὐκ ἐξ αὐτοῦ τὴν τοῦ πνεύματος ὕπαρξιν. εἰ δέ τις δοίη καὶ διὰ τοῦ πνεύματος ἐνεργεῖν τὸν υἱόν, οὐδ' αὐτὸ τοῦτο δηλωτικὸν ὅτι τὸ εἶναι τῷ πνεύματι παρὰ τοῦ υἱοῦ. ὁ γὰρ διά τινος οὐσιωδῶς ἐνεργῶν ἢ διὰ τὸ αἴτιον ὁμοῦ καὶ τὸ συμφυὲς λέγεται δι' αὐτοῦ ἐνεργεῖν ἢ διὰ μόνον τὸ συμφυές, οὐ μὴν καὶ τὸ αἴτιον. ὥσπερ ἡ χείρ, συμφυῶν ὄντων αὐτῇ τῶν δακτύλων, ἐνεργεῖ δι' αὐτῶν οὐχ ὅτι τῶν δακτύλων αἰτία ἐστίν· ὁ γὰρ τῆς χειρὸς αἴτιος, ἐκεῖνος καὶ τῶν δακτύλων καὶ τῆς αὐτῶν πρὸς τὴν χεῖρα συμφυΐας αἰτιός ἐστιν. οὕτως οὖν ὁ μὲν πατὴρ ἐνεργεῖ δι' υἱοῦ καὶ ὡς οὐσιώδης ἀρχὴ τοῦ υἱοῦ. ὁ δὲ υἱὸς ἐνεργεῖ διὰ τοῦ πνεύματος. ἔστω γὰρ ὡς ἔχων ἑαυτῷ τὸ πνεῦμα συμφυὲς παρὰ τοῦ πατρός. μὴ μέντοι καὶ ἀρχὴ τοῦ πνεύματος ὤν· μία γὰρ ἀρχὴ καὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος ὁ πατήρ.

XXII. *Εἰ δέ τις ἀποροίη λέγων· 'εἰ διὰ τὴν συμφυΐαν ἐνεργεῖν ὁ υἱὸς λέγεται διὰ τοῦ πνεύματος, πῶς οὐκ ἐνεργήσει καὶ τὸ πνεῦμα διὰ τοῦ υἱοῦ, συμφυοῦς ὄντος αὐτῷ; τὸ γὰρ συμφυὲς συμφυεῖ συμφυές', ἀπορείτω πρότερον. πῶς οὐκ ἐνεργοῦσιν οἱ δάκτυλοι διὰ τῆς χειρός, ἐννοείτω δ' ἔπειτα τὴν κυ-*

[1] Matth. XII 28

1 ἐν πνεύματι θεοῦ ἐγώ] ἐγὼ ἐν πνεύματι θεοῦ LV ‖ 2 ὑμᾶς] ἡμᾶς L ‖ 6 διὰ τοῦ] διὰ L ‖ 7 πνεύματι] πατρί L ‖ 12 ἐνεργεῖ] ἐνεργεῖται L ‖ 15 δι'] διὰ τοῦ V ‖ 16 sq. τοῦ πνεύματος] πνεύματος L ‖ 17 πνεῦμα] om. V ‖ 19 καὶ τοῦ υἱοῦ] τοῦ υἱοῦ L ‖ 22 τοῦ om. M ‖ 24 ὄντος αὐτῷ] αὐτῷ ὄντος L.

ρίως ἀρχὴν πάντων τῶν ἐξ αὐτῆς οὖσαν ἀρχήν, οὐ τινῶν μέν, τινῶν δ' οὔ. διὸ τοῦ πατρὸς κυρίως ὄντος ἀρχῆς, ἀναγκαῖον ἐξ αὐτοῦ καὶ τὴν συμφυΐαν καὶ τὴν ἐνέργειαν ἄρχεσθαι καὶ προβαίνειν εὐτάκτως εἴς τε τὸν υἱὸν καὶ τὸ πνεῦμα καὶ οὐκ ἔκ τινος τῶν ἐκ τῆς ἀρχῆς. εἰ γὰρ κἀκ τοῦ πνεύματος ἡ συμφυΐα καὶ δι' αὐτὴν καὶ τὸ ἐνεργεῖν, ἀνεσκεύασται τὸ πᾶν καὶ συγκέχυται. διὰ ταῦθ' ἅπερ ὁ πατὴρ ἐνεργεῖ διὰ τοῦ υἱοῦ, ταῦτ' ἂν ὁ υἱὸς ἐνεργήσαι διὰ τοῦ πνεύματος, συμφυοῦς ὄντος αὐτῷ παρὰ τοῦ πατρός, μᾶλλον δ' ὁ πατὴρ ἐνεργήσαι δι' υἱοῦ ἐν πνεύματι. μιᾶς οὔσης ἐνεργείας τῶν τριῶν τῆς θεότητος ὑποστάσεων, ὥσπερ διὰ χειρὸς ἐργάζεται τοῖς δακτύλοις ὁ ἄνθρωπος. ἐπεὶ δὲ τὸ ἐξ οὗ κυρίως μὲν τὸ αἴτιον, ἄλλως δὲ καὶ τὸ οὗπερ ἐξήρτηταί τι δηλοῖ, καθὼς οἱ δάκτυλοι διὰ τὸ τῆς χειρὸς ἐξηρτῆσθαι λέγοιντ' ἂν ἴσως κοινότερον ἐξ αὐτῆς, οὐ χρὴ τὸν λελογισμένον ἐπιλαβέσθαι τοῦ ὑποδείγματος. ἡμεῖς γὰρ περὶ τοῦ κυρίως ἐξ οὗ, τῆς οὐσιώδους ἀρχῆς, τὸν λόγον ποιούμεθα, καθὸ τοὺς δακτύλους ἐκ τοῦ ἀνθρώπου μὲν καὶ τῆς ὁλομελείας fol 21v γινώσκομεν. — πόθεν γὰρ ἄλλοθεν καὶ τοῦ ἀνθρώπου δακτύλους ἀλλὰ καὶ τῆς χειρός; — διὰ τὴν συμφυΐαν ἐν αὐτῷ τε κἀν ταύτῃ λέγομεν, ἐκ δὲ τῆς χειρὸς αὐτοὺς ὥσπερ ἐκ τοῦ ἀνθρώπου λέγειν οὐ μεμαθήκαμεν. τὰ γὰρ τοιαῦτα τῶν ὡς ἔτυχεν ἀσυνοράτως προφερόντων τὸ δοκηθέν. ὥσπερ δὲ τὸν πατέρα μὲν διὰ τοῦ υἱοῦ καὶ τῷ λόγῳ τῆς αἰτίας εἰρήκαμεν ἐνεργεῖν,

1 πάντων τῶν ἐξ αὐτῆς] πάντως τοῖς ἐξ αὐτοῖς M ‖ 2 κυρίως ὄντος] ὄντος κυρίως L ‖ 9 ἐνεργήσαι] ἐνεργήσει L ‖ 10 ὄντος] om. M ‖ 15 καθὼς] καθὼς καὶ V ‖ 20 τῆς] om. M ‖ 22 καὶ] καὶ διὰ V ‖ 25 sq. προφερόντων] προσφερόντων L ‖ 26 μὲν] om. V ‖ 27 ἐνεργεῖν] ἐνεργεῖν καὶ τὴν συμφυΐαν V

τὸν υἱὸν δὲ διὰ τοῦ πνεύματος μόνῳ τῷ λόγῳ τῆς συμφυΐας, οὕτω καὶ τοῦ πατρὸς μὲν εἰκόνα κεκλῆσθαί φαμεν τὸν υἱὸν διά τε τὸ αἰτιατὸν καὶ τὸ ἐν αὐτῷ τῷ υἱῷ θεωρεῖσθαι τὸν πατέρα. τοῦ υἱοῦ δ' εἰκόνα τὸ πνεῦμα διὰ τὸ ἐν αὐτῷ τῷ πνεύματι θεωρεῖσθαι τὸν υἱόν, οὐ μὴν καὶ διὰ τὸ τὸν υἱὸν αἴτιον εἶναι τοῦ πνεύματος. τὸ γὰρ τῆς εἰκόνος ἰδιαίτατον οὐ τὸ ἐξ ἀνάγκης ἔχειν ταύτην ἀρχέτυπον, ἀλλὰ τὸ εἰκονίζειν ἐκεῖνο καὶ δεικνύειν, οὗ ἔστιν εἰκών. πολλαὶ γὰρ τῶν παλαιγενῶν εἰκόνες ἐρρέθησαν τῶν νεοφανῶν, εἰ μή τις βιάσαιτο κἀκείνων τῶν τότε τύπων εἶναι τὰ ἐκβησόμενα πρότερα κατ' ἐπίνοιαν. ὡς τοῦ θεμελίου τὸν τοῖχον ἢ καὶ τὸν ὄροφον· ἀλλὰ τὸ τοιοῦτον πρότερον ὕστερον μᾶλλον ἢ πρότερον. ὅθεν οἰκειότατον εἰκόνι δι' ὅλου τὸ τοῦ εἰκονιζομένου πεφυκέναι γνωριστικῇ, μήτε πρὸς τὸ ἀρχέτυπον γινομένης ἀλλὰ πρὸς τὸ εἰκονιζόμενον τῆς ἀναφορᾶς, — ἡ γὰρ εἰκὼν εἰκονιζομένου εἰκὼν καὶ τὸ εἰκονιζόμενον εἰκόνι κατὰ τὴν ἀντιστροφὴν εἰκονίζεται — μήτε μὴν ἐξ ἁπάσης εἰκόνος ἀναιρουμένου τοῦ ἀρχετύπου, ἀλλ' ὅπῃ χώραν ὑπάρξεως ἔσχηκε, μένοντος. ἐπεὶ γοῦν ἐν τῷ πνεύματι θεωρεῖται ὁ υἱός — οὐ γὰρ ἔστι θεωρῆσαί τινα τὸν υἱὸν μὴ καταυγασθέντα τῷ πνεύματι — διὰ τοῦτο τὸ πνεῦμα εἰκὼν τοῦ υἱοῦ, καθὼς καὶ ὁ προφήτης πρὸς τὸν θεὸν καὶ πατέρα φησίν· 'ἐν τῷ φωτί σου ὀψόμεθα φῶς'.[1] ἤγουν ἐν τῷ πνεύματί σου ὀψόμεθα τὸν υἱόν. ὁ δὲ

[1] Psalm. XXXVI 10

6 καὶ διὰ] καὶ τὸ διὰ L | 7 τῆς om. L | ἀνάγκης] ἀνθρώπων L | 9 πολλαὶ] πολλὰ M | 11 sq. πρότερα] πρότερον L | 12 ὡς τοῦ] ὡς καὶ τοῦ L | 15 πεφυκέναι] πεφοικέναι V | 18 εἰκόνι] εἰκόνα V | 19 ἁπάσης εἰκόνος] εἰκόνος ἁπάσης L | 20 ὅπῃ] ὅτι L | 22 ἔστι] ἐστι MV ἐστὶ L | 25 φησίν] φησὶ ML

υἱὸς εἰκών ἐστι τοῦ πατρὸς καὶ ὅτι ἐν αὐτῷ θεωρεῖται ὁ πατήρ· 'ὁ ἑωρακὼς γὰρ ἐμέ' φησιν 'ἑώρακε τὸν πατέρα',[1] καὶ ὅτι ἐκ τοῦ πατρός. ὁ γοῦν ἄξιος ἐν τῷ πνεύματι θεωρῆσαι τὸν υἱόν, ἐν δὲ τῷ υἱῷ τὸν πατέρα, τὴν ὅλην ἂν κατοπτεύσοι θεότητα. συμφυοῦς ὄντος τοῦ υἱοῦ τῷ πατρὶ καὶ τοῦ πνεύματος τῷ υἱῷ παρὰ τοῦ πατρὸς καὶ οὕτω μιᾶς οὔσης ἐν τοῖς τρισὶ συμφυΐας καὶ ἀντιπεριχωρήσεως. ἀλλ' οὐδὲ τὸ 'ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν'[2] μαρτύριον ἂν εἴη τοῦ τὸ πνεῦμα καὶ παρὰ τοῦ υἱοῦ τὴν ἐκπόρευσιν ἔχειν, ὥς τινες προενέστησαν, ἀλλὰ τοῦ καὶ αὐτὸ παρὰ τοῦ πατρὸς | ἔχειν ὅσαπερ ἔχει. L 218v

XXIII. Τὸ μὲν οὖν εἰπεῖν, ὅτι τὸ ἐκ τοῦ ἐμοῦ τὸ ἐκ τοῦ πατρὸς δηλοῖ, — τοῦτο γὰρ εἰς λύσιν τότε τῆς ἐνστάσεως ἐπενήνεκται — παραιτητέον ὡς βίαιον· ποῦ γὰρ ἄλλοθι τῶν εὐαγγελίων ἀντὶ τοῦ πατρὸς εἰρηκὼς ὁ κύριος εὕρηται τὸ ἐμοῦ; τὸ δ' αὐτὸν τὸν εἰρηκότα σαφηνίζειν ἀριδήλως τὰ ἑαυτοῦ ποίας ἄλλης ἀξιοπιστίας οὐκ ἰσχυρότερόν τε καὶ προτιμότερον; τί γοῦν φησιν οὗτος; 'πάντα ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστι· διὰ τοῦτο εἶπον, ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει καὶ ἀναγγέλλει ὑμῖν.'[2] ὥσπερ εἰ ἔλεγεν· ἐπείπερ ὁ παράκλητος ἐκ τοῦ πατρὸς λαμβάνει τὴν γνῶσιν, τὴν σοφίαν, τὴν πρόρρησιν καὶ εἴ τι ἕτερον, πάντα δ' ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστιν — υἱὸς γάρ εἰμι γνήσιος, μηδενὸς τῶν τῆς πατρικῆς οὐσίας αὐχημάτων λειπόμενος — διὰ τοῦτο εἶπον, ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει. ἐκ τοῦ

[1] Joh. XIV 9 [2] Joh. XVI 15

5 ἂν κατοπτεύσοι] αὐτοῦ κατοπτεύσει L | 8 ἀντιπεριχωρήσεως] ἀντιχωρήσεως L | 10 τοῦ τὸ] τοῦτο M τοῦ καὶ τὸ L | 11 προενέστησαν] προενέστησαν L | 17 τὸ] τοῦ M | 27 ὅτι om. V

ἐμοῦ δηλονότι πληρώματος, ἐπείπερ τὸ πατρικόν. τῷ γὰρ ἐρευνῶντι καὶ τὰ βάθη τοῦ θεοῦ πῶς ἀνοίκειον τὸ λαμβάνειν ἐκ τοῦ θεοῦ λαμβάνειν οὐ μεθεκτῶς. ἀλλ' ὥσπερ ὁ υἱός; ὥστε μᾶλλον τὸ διειλημμένον ῥητὸν ἐναργῶς πιστοῦται τὴν τοῦ πνεύματος ἐκπόρευσιν τελείαν ἐκ τοῦ πατρὸς εἶναι καὶ ἀνενδεῆ. τὸ δ' 'οὐ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ λαλήσει'[1] τοιοῦτόν ἐστιν ἀντικρύς. οἷον τὸ 'ὁ ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος ἐπάνω πάντων ἐστί, καὶ ὃ ἑώρακε καὶ ἤκουσε, τοῦτο μαρτυρεῖ.'[2]) ταῦτα δὲ καὶ τὰ παραπλήσια διὰ τὴν ἐπὶ τὸ πρῶτον αἴτιον ἀναφορὰν οὕτως εἴρηται, τὸ δὲ πέμπειν καὶ τὸ διδόναι ταὐτόν ἐστιν. ἐπεὶ γοῦν ὁ υἱὸς δοτὴρ κατ' οὐσίαν τοῦ πνεύματος, καὶ πέμπει καὶ δίδωσιν αὐτὸ καὶ ἀποστέλλει καὶ παρέχει καὶ χορηγεῖ. πάντων τῶν τοιούτων ὀνομάτων πρὸς μίαν ἔννοιαν φερόντων καὶ τὴν αὐτήν. τούτων οὕτω διηρθρωμένων οὔτε τὸ διὰ τοῦ πνεύματος ἐνεργεῖν τὸν υἱὸν οὔτε τὸ εἰκόνα τοῦ υἱοῦ λέγεσθαι τὸ πνεῦμα οὔτε τι τῶν ἄλλων δηλωτικὸν ἂν εἴη τοῦ τὸν υἱὸν ἀρχὴν ὅλως εἶναι τοῦ πνεύματος.

XXIV. Ἐκ γῆς Κιλίκων πρὸς τοὺς ἐκ Ῥωμαΐδος ἥκουσιν ἄνδρες ἔμπειροι τῆς γραφῆς καὶ τὸ μὲν παθητὸν εἶναι τὸ θεῖον ἢ μιᾶς τὸν θεάνθρωπον φύσεως εἰς τοὐμφανὲς ἀπαναίνονται, προσφέρειν δὲ τὸν τρισάγιον ὕμνον μετὰ τῆς προσθήκης τῷ Χριστῷ διατείνονται. μὴ καλῶς δὲ ποιεῖν ἐλεγχόμενοι τὸ περιορίζειν ἑνὶ προσώπῳ μονομερῶς τὴν ὅλῃ τῇ θεότητι κοινῶς ἀφοσίωσιν, ἀντελέγχειν δῆθεν καὶ οὗτοι πειρῶνται

[1]) Joh. XVI 13 [2]) Joh. III 31, 32

1 ἐπείπερ] ἐμὸν ἐπείπερ V ‖ 6 τελείαν] τελέαν L ‖ 7 ἀκούσῃ] ἀκούσοι V ‖ 10 τοῦτο] ταῦτα V

ποιοῦντας τοῦτ' αὐτὸ τοὺς ἐλέγχοντας. 'τί γὰρ ἕτερον βούλεται', φάσκουσι, 'τῷ ἅγιος ἅγιος ἅγιος τὸ εὐλογημένος | ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου προσκείμενον, εἰ μὴ τὸν τρισάγιον ὕμνον μόνῳ προσαρμόζεσθαι τῷ υἱῷ;' πρὸς τοῦτο τοῖς ἱεράρχαις, μετ' αὐτῶν γὰρ ὁ διάλογος, λόγος οὐκ ἦν ἢ τὸ τὰς πρὸς ἄλλους εὐθύνας ὁρᾶν ἀντωθουμένας εἰς τοὺς προπέμψαντας. ἐπεὶ δ' ὁ βασιλικὸς ἐκποδὼν χόλος, οὐκ ἐπιτροπὴν ἀναμεμενηκότες ἡμεῖς οὕτω λέγομεν· 'ὕμνων δύο συνάφεια, τοῦ μὲν πρὸς τὴν τριάδα, τοῦ δὲ πρὸς τὸν ἕνα ταύτης, τὴν ἀπάτην τοῖς οὐκ ἐπεσκεμμένοις εἰσήνεγκεν· ἀλλ' ἤδη καὶ τὰ λεγόμενα διαιρήσομεν καὶ τὴν συνάφειαν ὅπως ἐγεγόνει διασαφήσομεν καὶ τὸ ψεῦδος ὑπερορίσομεν. τὸ μὲν 'ἅγιος ἅγιος ἅγιος κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου.' τῇ τριάδι προσᾴδομεν, ἐπεὶ καὶ πᾶσαν τὴν κατὰ τοῦ διαβόλου καὶ πλάνης νίκην εἰργάσατο, τοῦ μὲν πατρὸς εὐδοκήσαντος, ⟨τοῦ δὲ υἱοῦ ἐνεργήσαντος⟩, τοῦ δὲ πνεύματος συνεργήσαντος. τὸ δ' ἑξῆς λέγομεν ἀραρότως πρὸς τὸν Χριστὸν ὡς τὸ τρόπαιον αὐτουργήσαντα καὶ τὴν τῆς τριάδος ἐπίγνωσιν ἀρίστως ἡμᾶς ἐκδιδάξαντα. καὶ ἡμεῖς μὲν οὕτως. ὁ δὲ τῷ τρὶς ἅγιος καὶ τῷ θεὸς ἰσχυρὸς ἀθάνατος τὴν ὁ σταυρωθεὶς δι' ἡμᾶς προσθήκην πεποιημένος, ὁποῖον ἐκ τῆς τῶν ῥητῶν ὁλομερείας προσνέμει τμῆμα τῇ τριάδι κοινῶς, ὁποῖόν τ' αὖ ἰδικῶς ἀφιεροῖ τῷ υἱῷ, δεικνύτω, καὶ ἀνεπίκλητος· μὴ δεδυνημένος δὲ διελεῖν αὐτὸς ἑαυτὸν προσαγγέλλει τῇ θεότητι καὶ ὅλῃ προσκληροῦντα τὸ ἐσταυρῶσθαι.'

XVIII. Οὕτω τοῖς ὑπεναντίοις ἐκπεφαυλισμένης τῆς ὑποκρίσεως ὁ περὶ τῆς θυσίας λόγος εἰσάγεται κἀκεῖ-

fol 219r

2 τῷ] τὸ M ‖ 18 ⟨τοῦ δὲ υἱοῦ ἐνεργήσαντος⟩ om. M.

θεν μὲν ἔνστασις τὴν ταύτης, ὅτ᾽ ἦν ἡ τῆς ζύμης ἄρσις. γεγενῆσθαι παράδοσιν, ἐντεῦθεν δὲ τὸ μήπω τὸν τοιοῦτον ἐληλυθέναι καιρόν, ὁπότε δεῖπνος ὁ μυστικός· μετὰ τὸ πάθος γὰρ τὸ δεσποτικὸν τὸ πάσχα τὸ νομικόν. πάλιν ἐκεῖθεν ὁ μὲν εἷς κρουνὸς τῶν ἐκ τῆς τοῦ κυρίου πλευρᾶς εἰς πόσιν ἐλέγετο δεδόσθαι μόνος, ὁ δ᾽ ἕτερος εἰς βαπτισμόν, ὁ τοῦ ὕδατος. ἐντεῦθεν καὶ ἄμφω μετὰ τοῦ ὅθεν εἰς θυσίαν ἐβεβαιοῦντο συνεισῆχθαι καὶ λίαν ἐναργῶς, ἐπείπερ αὕτη τῷ τότε καὶ οὐδὲν ἕτερον τὸ τελούμενον. ἡμεῖς οὖν ἐκ περιουσίας ἀντιλογίαν ἅπασαν λύοντες, ἐκ τῶν ὁσημέραι γινομένων καὶ φαινομένων ἀρχόμενοι καὶ τοῖς ἐκ φύσεως τὰ ὑπὲρ φύσιν ἐπάγοντες, οὑτωσὶ περὶ τῶν μυστηρίων διαλαμβάνομεν. ‛ἐπειδὴ τῷ λογικῷ ζώῳ τροφὴ στερεὰ προηγουμένη καὶ καταλληλοτέρα fol. 249v πασῶν ὁ ἄρτος ἐστίν, ὑγρὰ δὲ τῷ αὐτῷ χρησιμωτέρα τῶν ἄλλων ὁ οἶνος, εἰς αἷμα διὰ ταχέος ὑπὸ τῆς φύσεως ἀλλοιούμενος. — ἐκ δὲ τῶν τροφῶν γνώριμον ὅτι καὶ γένεσις αἵματος καὶ σαρκὸς σύστασις — ὁ κύριος ἑνῶν ἡμᾶς ἑαυτῷ δέδωκεν ἡμῖν τὸν ἄρτον φαγεῖν, ὃν ἦν αὐτὸς ἐσθίειν εἰωθώς, ἰδίαν σάρκα τὸν ἄρτον ἀπεργασάμενος, ὥσπερ εἰ ὁ ἄρτος οὗτος αὐτῷ τῷ κυρίῳ βρωθείς, πεφθείς, χυλοποιηθείς, ἀναδοθείς, αἱματοποιηθείς, προστεθεὶς ἀπετελέσθη σὰρξ αὐτοῦ τοῦ κυρίου διὰ τῆς προσφύσεως. ἀλλὰ ταῦτα μὲν ἐνεργήματα φύσεως, ὁ δὲ ταύτης δημιουργὸς ὁ δοὺς αὐτῇ καὶ τὸ ἐνεργεῖν, τοὺς πολλοὺς δρόμους ὑποτεμών, ἀχρόνως καὶ ὑπερφυῶς καὶ πρὸ τοῦ φαγεῖν τὸν ἄρτον εἰς τὴν ἑαυτοῦ σάρκα τοῦτον μετέβαλεν, οὐκ εἰς μέρος σαρκός, ἀλλ᾽ εἰς αὐτὴν τὴν ὁλότητα. καὶ καταμεριζο-

23 χυλοποιηθείς em. Demetracopoulos, χιλοποιηθείς M

μένου δὲ τοῦ ἄρτου πάλιν ἓν ἕκαστον εὐδοκίμησε μέρος ὅλην εἶναι τὴν σάρκα τὴν ἑαυτοῦ καὶ πάντα τὰ μέρη μίαν σάρκα καὶ τὴν αὐτήν. διὸ καὶ ἡμεῖς διὰ τῶν μυστηρίων ὅλον εἰσδεχόμεθα τὸν Χριστόν, ὅλον ἕκαστος εἰσοικίζεται, καὶ ὅλῳ συνανακίρναται, καὶ μένει Χριστὸς ἐν αὐτῷ καὶ αὐτὸς ἐν Χριστῷ. ἐν ἑκάστῳ δ᾽ ὁλοκλήρως ὢν ὁ Χριστός, εἷς καὶ ὁ αὐτὸς ἀμερίστως ἐν πᾶσιν ἐστίν. παρέσχεν ἡμῖν καὶ τὸν οἶνον πιεῖν ὃν αὐτὸς ἔπινε καὶ ὡς ἔπινεν, ὕδατι δηλονότι κεκραμένον, οὐκ ἄκρατον. καὶ πρὸ τοῦ πιεῖν αὐτὸν εἰς τὸ οἰκεῖον αἷμα μεταβαλὼν θαυμαστῶς, ἀρρήτως, θεοπρεπῶς. ὁ γὰρ τὰ πάντα φέρων τῷ τῆς αὐτοῦ δυνάμεως ῥήματι κατ᾽ ἐξουσίαν, ὅτε βούλεται, πάντα ποιεῖ, τὰ μὲν ἐκ τοῦ μὴ εἶναι παράγων, τὰ δὲ μετασκευάζων ὑπὲρ κατάληψιν. ὅτι δ᾽ ὁ οἶνος οὐκ ἄκρατος, καὶ ἡ τῶν θείων ἱεροτελεστῶν ἀκριβολογουμένη δυὰς οἶνον αὐτὸν οὐκ ὠνόμασαν, ἀλλὰ δι᾽ ὧν εἴποσαν αὐτὸ τὸ συνήθως ἡμῖν πινόμενον δεδηλώκασιν οἶνον πάντως μεθ᾽ ὕδατος. ἐπεὶ γὰρ τὸ ποτήριον δύο τινὰ παρὰ μέρος δηλοῖ — καὶ γὰρ καὶ αὐτὸ τὸ πινόμενον ποτήριον λέγεται καὶ πάλιν τὸ σκεῦος, ἐν ᾧ τὸ πινόμενον, ποτήριον ἐκάλεσεν ἡ συνήθεια — τὰ δύο τῆς τοιαύτης φωνῆς οἱ δύο πατέρες ἑαυτοῖς διεμερίσαντο σημαινόμενα, καὶ ὁ μὲν εἷς τῷ περιεχομένῳ | fol. 250r προσήρμοσε τὴν φωνήν, ἅτερος δὲ τῷ περιέχοντι. τον μὲν οὖν ἄρτον καὶ ἄμφω διαρρήδην ἄρτον εἰρήκεσαν, θάτερον δὲ τῶν προκειμένων εἰπεῖν οἶνον οὐκ ἐδοκίμασαν, τὴν τοῦ ἀκράτου προαναιροῦντες ὑπόνοιαν.’

XIX. Ἐπεὶ δὲ πρὸς ἑαυτοὺς τῆς διαλέξεως πεπερατωμένης ἀπεληλύθαμεν, ἐγκωμιάσαι τὸν ἐν θεολό-

8 ἐστίν] ἐστί M

γοις μέγιστον Ἰωάννην ὡς ἐν τοῖς αὐτοῦ διάγοντες προθυμούμεθα. καὶ τὸ ʻπάντα δι᾽ αὐτοῦ ἐγένετοʼ διασαφοῦντες ἐπάγομεν ʻπαρὰ τοῦ πατρόςʼ· ἐκεῖθεν γὰρ αὐτῷ καὶ τὸ εἶναι καὶ τὸ δημιουργεῖν. ἐπιλαμβάνεται τῶν ῥητῶν ἀναγινωσκομένων συνοδικῶς ὁ πατριάρχης, ὡς τῷ υἱῷ δῆθεν παρεισφερόντων ἐλάττωσιν. μᾶλλον δέ ποθεν, εἴτ᾽ ἐκ τῶν συνεδριαζόντων εἴτ᾽ ἐκ τῶν παρισταμένων, ῥυείσης γλώττης ἀκρατῶς τε καὶ προπετῶς, ὁ πρῶτος εὐθὺς παρασύρεται καὶ συμφθέγγεται καὶ τῶν κατ᾽ αὐτοὺς ἐπιληψίμων διόρθωσιν ὑποφωνεῖ καὶ θρασύτατον, ῥόθῳ σημείωσιν ἀποφαίνεται καὶ οἱ λοιποὶ κατατίθενται. τοῦτο δ᾽ οὐκ ἦν τοσοῦτον τῆς ἱερογραφικῆς ἐπιστήμης τῶν τοῦ λόγου τῆς ἀληθείας ἐξηγητῶν ὅσον τῆς ἀβασκάνου γνώμης τῶν περιόπτων ἐν ἁγιότητι. τί γοῦν ἡμεῖς, οἱ πῶς εἰπεῖν οὐκ ἔχομεν ὑπεραπολογούμενοι καὶ φθονούμενοι; μαρτυρίαις γραφικαῖς ὀλίγαις, ἀλλὰ προδήλοις καὶ πρὸς τὴν ἕξιν τῶν ἀκουόντων, καὶ λογισμοῖς ὁμοίοις τὰ εἰρημένα πιστούμεθα καὶ πρὸς τὴν τῆς πνευματικῆς ἀθροίσεως κορυφήν, δι᾽ ἧς καὶ πρὸς τὴν λοιπὴν συμμορίαν, τοιαῦτα μεθ᾽ ἑτέρων διαχαράττομεν· ʻεἰ τὸ τὸν πατέρα διὰ τοῦ λόγου δημιουργεῖν αἴτιον αὐτοῦ καθεστηκότα καὶ πάντων δὴ τῶν αὐτοῦ διορθώσεως ἢ σημειώσεως ἄξιον ὡς ἐπισφαλές, ὡς παρέγγραπτον, πῶς οὐ πρότερον διορθωτέον ἢ σημειωτέον αὐτὸ τὸ πίστεως ὅρισμα, τὸ σύμφωνον δογμάτισμα, τὸ κοινὸν ὁμολόγημα, ποιητὴν μὲν πάντων ὁρατῶν τε καὶ ἀοράτων τὸν θεὸν καὶ πατέρα διαγορεῦον, τὸν δὲ υἱὸν εἶναι διασαφοῦν τὸν δι᾽ οὗ τὰ πάντα ἐγένετο; εἰ ὁ πατὴρ

24 παρέγγραπτον] παρέγραπτον M

ποιητὴς πάντων, τὰ δὲ πάντα διὰ τοῦ υἱοῦ, τάχ᾽ ἄν τις ὑποτοπάσοι τὸν πατέρα διὰ τοῦ υἱοῦ τὰ | πάντα fol. 250v ποιεῖν, ὡσπερεὶ διὰ σοφίας οἰκείας καὶ δυνάμεως καὶ δεξιᾶς, ἵν᾽ ὁ λόγος μὲν εἴη παραγωγεὺς κτισμάτων ἁπάντων, αἴτιος δὲ ὁ πρῶτος νοῦς ὁ τὸν δημιουργὸν λόγον γεγεννηκὼς ἀπαθῶς, οὗ εὐδοκίᾳ τὸ κτιστὸν ἅπαν αὐτὸς ὁ λόγος οὐσίωσε καὶ υἱός. ἀκούομεν δὲ καὶ τοῦ μεγάλου Παύλου τὴν μέλλουσαν κρίσιν διὰ τοῦ υἱοῦ γενησομένην διδάσκοντος παρὰ τοῦ πατρός. ἢ τί ἕτερον τὸ φάσκειν αὐτὸν οὑτωσὶ Ῥωμαίοις δι᾽ ἐπιστολῆς· ʻὅτε κρινεῖ ὁ θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων κατὰ τὸ εὐαγγέλιόν μου διὰ Ἰησοῦ Χριστοῦ;ʼ[1]) καὶ αὐτὸς δὲ ὁ κύριος περὶ τῆς ἑαυτοῦ διδαχῆς οὕτω διαγγέλλει τοῖς μαθηταῖς· ʻτὰ ῥήματα, ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ᾽ ἐμαυτοῦ οὐ λαλῶʼ[2]), καὶ ʻὁ λόγος, ὃν ἀκούετε, οὐκ ἔστιν ἐμὸς ἀλλὰ τοῦ πέμψαντός με πατρός.ʼ[3]) καὶ περὶ τῶν θεοσημειῶν· ʻὁ δὲ πατὴρ ὁ ἐν ἐμοὶ μένων αὐτὸς ποιεῖ τὰ ἔργα.ʼ[2]) κατὰ τούτους οὖν τοὺς λόγους τοῦ υἱοῦ κρινοῦντος ὁ πατὴρ κρινεῖ διὰ τοῦ υἱοῦ, καὶ τοῦ υἱοῦ διδάσκοντος ὁ πατὴρ διδάσκει διὰ τοῦ υἱοῦ, καὶ τοῦ υἱοῦ τερατουργοῦντος ὁ πατὴρ ποιεῖ τὰ ἔργα διὰ τοῦ υἱοῦ. κατὰ ταὐτὰ καὶ τοῦ υἱοῦ κτίζοντος ὁ πατὴρ κτίζει διὰ τοῦ υἱοῦ τῷ αἴτιος εἶναι τοῦ υἱοῦ καὶ πάντων τῶν τοῦ υἱοῦ.

XX. Μήποτ᾽ οὖν καὶ ταῦτα πάντα καὶ τὰ παραπλήσια πολλά γε ὄντα διορθώσεως ἢ σημειώσεως εἴτ᾽ οὖν ὀβελίσεως ἄξια; εἰ γὰρ μὴ τοῦτο, τοῦ λόγου δημιουργοῦντος ὁ πατὴρ ἀραρότως διὰ τοῦ λόγου δη-

[1]) Rom. II 16 [2]) Joh. XIV 10 [3]) Joh. XIV 24

17 θεοσημειῶν] θεοσημιῶν M

μιουργεῖ καὶ πάντα δι' αὐτοῦ τοῦ λόγου γέγονε παρὰ τοῦ πατρός, ἐπεὶ καὶ τὸ δημιουργὸν αὐτὸν εἶναι παρὰ πατρός, οὗ τῆς ὑποστάσεως χαρακτὴρ καὶ ἀπαύγασμα τῆς δόξης προαιωνίως ἐξέλαμψεν. ὅτε δὲ πάλιν φησὶν ὁ ἀπόστολος· 'ὡς ὁ θεὸς ἐλάλησεν ἡμῖν ἐν υἱῷ, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε'. τί ἄλλο λέγων ἐστὶν ἢ ὅτι ὁ πατὴρ διὰ τοῦ υἱοῦ καὶ πάντα μὲν τὰ ὄντα δηλαδὴ καὶ αὐτοὺς δὲ τοὺς αἰῶνας ἐποίησε; τὸ δ' ὅτι δι' υἱοῦ καὶ τοὺς αἰῶνας ἐποίησεν ὁ θεὸς καὶ τὸ πάντα διὰ τοῦ υἱοῦ ἐγένετο παρὰ τοῦ πατρὸς ταυτότητα φέρει κατὰ τὴν δήλωσιν ἄντικρυς καὶ οὔτι που θατέρου θάτερον διενήνοχεν. ἀκηκόαμεν δέ ποτε καὶ τῆς σῆς εὐήχου γλώττης καὶ ἱερᾶς ἐπ' ἀνακτορικῆς ἐκκλησίας ψαλτῳδούσης διάτορον· 'ἅγιος ὁ θεὸς ὁ τὰ
fol. 251r πάντα | δημιουργήσας δι' υἱοῦ.' εἰ ὁ θεὸς καὶ πατὴρ τὰ πάντα δεδημιούργηκε δι' υἱοῦ, πάντα διὰ τοῦ υἱοῦ ἐγένετο παρὰ τοῦ πατρός. εἰ μὴ πάντα διὰ τοῦ υἱοῦ ἐγένετο παρὰ τοῦ πατρός, οὐδ' ἔστι λέγειν ὀρθῶς τε καὶ εὐσεβῶς· 'ἅγιος ὁ θεὸς ὁ τὰ πάντα δημιουργήσας δι' υἱοῦ'· τοῦτο γὰρ ἐξ ἀνάγκης καὶ οὐκ ἄλλως ἔχον ἐστί. τί τοίνυν στερκτέον τὴν πρώτην ἀπόρρησιν ἢ ἀπορρητέον ἐκ δευτέρας μεταβουλεύσεως, ὡς τῶν τοῦ μονογενοῦς ἁπάντων εὐλόγως ἀναφερομένων ἐπὶ τὴν πρώτην ἀρχὴν καὶ μήτε τοῦ πατρὸς ὕφεσιν τῆς ἀξίας ὑφισταμένου τῷ λέγεσθαι τὰ πάντα ποιεῖν διὰ τοῦ λόγου αὐτοῦ καὶ υἱοῦ, — πῶς γάρ; — μήτε τοῦ μονογενοῦς ἐντεῦθεν ἐλαττουμένου; ποῦ γὰρ τὸ μεῖζον καὶ ὑψηλότερον τοῦ τὰ ἔργα τοῦ υἱοῦ ἔργα τοῦ πατρὸς καὶ εἶναι καὶ ὀνομάζεσθαι καὶ τοσοῦτον ἔχειν τὸ σεμνὸν τὸν δημιουργόν, ὡς ἔργα τοῦ θεοῦ πεφυκέναι τὰ ἔργα αὐτοῦ, καὶ παριστᾶν ἀριδήλως μετὰ τῆς πρώ-

της ἀρχῆς, ὡς ὁ πατὴρ καὶ ὁ υἱὸς ἕν εἰσιν. εἴ γε ἅπερ ἐργάζεται ὁ υἱός, ὁ πατὴρ αὐτὰ ἐργάζεται δι' αὐτοῦ τοῦ υἱοῦ ὡς κυρίως πατὴρ διὰ κυρίως υἱοῦ καὶ διὰ τοῦτο καὶ κυρίως θεοῦ. καὶ τοσοῦτον ἀμφοῖν τὸ συνημμένον εἶναι καὶ ταυτοδύναμον, ὡς μήτε τὸν πατέρα κεχωρισμένως ἐργάζεσθαί τι εἰ μὴ διὰ τοῦ υἱοῦ μήτε τι τὸν υἱὸν ἐργάζεσθαι τῆς πατρικῆς ἐνεργείας ἀνάξιον καὶ ὃ μὴ πατὴρ ἐργάζεται δι' αὐτοῦ δὴ τοῦ υἱοῦ;'

XXI. Τῆς οὖν τῶν ἱερῶν λογίων παραγωγῆς καὶ τῶνδε τῶν λογισμῶν οἱ τῆς συνόδου σὺν τῷ προηγουμένῳ λαβόντες αἴσθησιν ἐξ ἐπιστολῆς, συνταράττονται καὶ συγχέονται καὶ ἀλλήλων καταιτιῶνται καὶ καταμέμφονται, περὶ πολλοῦ τὴν οἴκοθεν αἰσχύνην τιθέμενοι καὶ περὶ πλείστου τὴν ἔξωθεν. τοῖς μὲν οὖν εἰς τοῦτο κατηντήκει τὰ τοῦ σπουδάσματος τῇ ἀρχῇ δεδεγμένοις τὸ πέρας ἐπάξιον. ἡμεῖς δὲ καὶ τὴν συλλογιστικὴν καὶ τὰ πρὸ ταύτης ἐν ἐπιτομῇ θέσθαι φθάνομεν, ᾗπερ ἰσχὺς σαφηνίσαντες τά τε τῆς φυσικῆς καιριώτερα καὶ τὰ τῆς μετεωρολογίας ἀναγκαιότερα. καὶ τῶν διττῶν καὶ ἀντιστρόφων περιφορῶν καὶ τῆς τῶν αἰθερίων σωμάτων κινήσεως καὶ τῶν ταύταις ἑπομένων ὅσα μὴ πόρρω τοῦ χρησίμου τὸν ὅμοιον τρόπον περιοδεύομεν, γύμνασμα τὴν πρᾶξιν οἰκεῖον ποιούμενοι. πρὸς δὲ καὶ περὶ ψυχῆς τῇ φιλοσοφίᾳ συνῳδὰ καὶ τῇ ἀληθείᾳ διαγορεύομεν, περὶ πίστεως λόγον συντάττομεν, περὶ ἀρετῆς καὶ ἀσκήσεως ἕτερον, ὅσα δέον οὐκ ἀγνοεῖν ἐν ὅσοις τε μὴ ἀπρακτεῖν τὸν ἀληθῶς εὐσεβεῖν προῃρημένον ταῦτα <σαφηνίζοντες>

18 ἐπιτομῇ] ἐπιτιμῇ M | 19 ᾗπερ] ἥπερ M ‖ 29 <σαφηνίζοντες>] om. M

καὶ διαγγέλλοντες. ἀλλὰ καὶ βασιλικὸν ἀνδριάντα πλάττομεν | fol. 251v καὶ ῥυθμίζομεν καὶ τοῖς βασιλεύουσι προϊστῶμεν ἐνώπιον, ὁποίους εἶναι χρεὼν διαζωγραφοῦντες καὶ παραδεικνύντες τοὺς τοιαύτης ἠξιωμένους ὑπεροχῆς. ψαλμούς τινας οὐχ ὡς ἐξ ἑτέρου λεγομένους ἀλλ' ὡς ἐκ τῶν ᾀδόντων αὐτοὺς ἐξηγούμεθα, στήλας ὑμνητηρίους, χαριστηρίους, ἱκεσίους τῷ κυρίῳ μὴ σιγώσας ἐγείρομεν, τῷ μόνῳ πάντων δημιουργῷ, τῇ τῆς εὐεργεσίας ἀεννάῳ πηγῇ, τῷ διὰ παντὸς οἰκτείροντί τε καὶ σώζοντι, λοιποῖς τε πόνοις λογικοῖς διαφόροις ὅσον τὸ σθένος τὴν ἡμετέραν βιοτὴν ἐκδιδόαμεν.

XXII. Μεταβαίνουσιν ἐκ τῶν οὐχ ἱσταμένων ὅ τε τὸ κράτος ἔχων καὶ ὁ τὴν ἱερὰν ἀρχὴν πρὸς τὰ μόνιμα. καὶ τὸν μὲν ὁ ἐξ ὀσφύος αὐτοῦ διαδέχεται, τοῦ δὲ τὴν διαδοχήν, ἐπεὶ τὸ βασκαῖνον ἀπῆν, σύμπας ὁ ἱεραρχικὸς ἡμῖν καὶ μόνοις ἐπιψηφίζεται σύλλογος καὶ ὁ τὰ σκῆπτρα δεδεγμένος τῇ τῆς ἀξίας τελεσιουργίᾳ πρὸς τούς, ἐν οἷς αἱ ψῆφοι πᾶσαι, πᾶσαν εἰσφέρει σπουδήν. ὅτι δὲ τὸ συνιστάμενον ὁ ὑπὲρ ἡμᾶς οὐ προσίεται, τοῦτο καὶ ἡμεῖς σὺν ἐπιτεταμένῳ μόχθῳ διαλύομεν ὡς ἀνθρώπινον. τὴν μὲν οὖν προεδρίαν πέρας μέτρου πυκτεύσαντες ἐκκρουόμεθα, πρὸς δὲ τὸ πασῶν πνευματικῶν τῆσδε τῆς ὅλης ἐπικρατείας ἄρχειν μανδρῶν καὶ παρηλλαγμένα περιβεβλῆσθαι καὶ διασημαίνεσθαι πόρρωθεν ἀνθελκόμεθα. πλὴν ἀλλὰ καὶ ταῦτα διακένους ὡσπερεὶ κτύπους καὶ μειρακιώδεις ἀθυρμοὺς ἐπὶ πλέον δυσφοροῦντες ὡς χλεύῃ τῷ καινισμῷ καὶ βαρυθυμοῦντες ἀποσειόμεθα, τήν τε σύντροφον ἀπραγμοσύνην οὐ παραιτούμενοι καὶ τῇ συνήθει λιτότητι πρεπόντως ἐνασμενίζοντες, μὴ προσφοιτᾶν δὲ τοῖς ἀνακτόροις αἱ-

ρούμενοι. κατὰ λόγον δὲ τοῦτο καὶ οὐχ ὡς ἔτυχεν αἴφνης μὲν ὡς συνεχῶς ἐκζητούμενοι τελέσαι τὸ αἱρετὸν οὐ μενοῦν δοκιμάζομεν. ἠρέμα δὲ καὶ κατ' ὀλίγον τὸ τῶν ἀφίξεων ἐπάλληλον διακόπτοντες μήπου τε προϊόντες ἑτέρωθι γινωσκόμενοι τὸ σπουδαζόμενον οὐ φορτικῶς ἐξανύομεν εἰς τὸ μηδ' ἔξω τῆς ἡσυχαστηρίου προβαίνειν κατηντηκότες περιοχῆς. καὶ οὕτω δ' ἐκεῖθεν τῇ τῶν δεόντων συρροίᾳ περικλυζόμεθα φιλοτιμότερόν τε καὶ δαψιλέστερον. ἐκ δὴ τοῦ περιγεγράφθαι τοιουτοτρόπως ἡμᾶς οὐδὲ μεταλλαττόμενον ἑωράκειμεν τὸν ἀνάσσοντα. τούτου μεταθεμένου τὴν ζωὴν ἀπὸ γῆς | καὶ fol. 252r ἡμεῖς ὅσον ἐκ τῶν ἄλλοις ἐπισυμβεβηκότων οὐ μένομεν ἐπὶ γῆς, οὐδενὸς ὄντος εἰς τοῦτο τοῦ δυσχεροῦς. τῶν ἐν στρατείᾳ γάρ τισιν ἐκ τῶν περὶ ἡμᾶς λαμβάνουσιν εἰσφοράς, ἐπεὶ τὰς αὐτῶν πλεονεξίας περιηροῦμεν εἰς δύναμιν, ἐπιβουλῆς ἄδειαν κατὰ τῶν αὐτοὺς ἀδικούντων τῷ μὴ ἐᾶν ἀδικεῖν δίδωσιν ὁ καιρός, συνεπισπασαμένοις ἑτοίμως καὶ τὸ ὁμόγνωμον.

XXIII. Τοῦ γοῦν νυνὶ κρατοῦντος τὴν ἡγεμονίαν παρὰ τῶν ἐν τέλει πεπιστευμένου καὶ τὴν τῆς βασιλείας διεξαγωγήν, καὶ διὰ τὴν τῶν πραγμάτων μεταβολὴν συναγωγῆς ἐν Μαγνησίᾳ γεγενημένης πολυμιγοῦς, — ἔνθα καὶ τὸ πέρας τῷ βεβασιλευκότι τοῦ κράτους ἐπεὶ καὶ τῆς βιοτῆς — ἐκεῖ μετάκλητοι καὶ ἡμεῖς καὶ παρὰ βούλησιν ἔνδημοι. τὴν τῆς ἡμετέρας ἐπιτηροῦσιν ἀφίξεως ἡμέραν οἱ δυσμεναίνοντες εἰς εἴδησιν θηρευσάμενοι — δεδηλωκέναι γὰρ ταύτην τῷ ἡγεμόνι κεκρίκαμεν καὶ παρ' αὐτοῦ τόπον ἐγνωκέναι σκηνώσεως — τὴν ὁδὸν ἡμῶν ἀντιφέρονται, τὴν ὑπαν-

17 τῷ] τὸ M

τίασιν καὶ τὸν διαχειρισμὸν ἐπισπεύδοντες. τί τοίνυν ὁ ἡμέτερος σοφὸς ὁδηγὸς καὶ σώστης κραταιός; τοὺς εἰς αὐτὸν ὁρῶντας ἐκκλῖναι τὴν μέσην παρασκευάζει καὶ πολυόδευτον καὶ δι' ἄλλης ἄγει πρὸς τὴν πόλιν ὡς πρὸς κρησφύγετον, ἣν δὴ καὶ ταῦτα κατάκρως τὰ τῆς εἰσόδου πεφυλαγμένην παρ' ἐλπίδα πᾶσαν εὐθὺς εἰσδύομεν. ἐπὶ τούτῳ τοῦ ἡγεμόνος ἐς πολὺ χαλεπήναντος, ὅτι τε καὶ οὗτος σὺν τῷ πατριάρχῃ καὶ τὸ σύμπαν πλῆθος ἐκτὸς ηὐλίζοντο καὶ ὅτι καὶ ἡμῖν ἑτοιμασθῆναι προδιετάξατο πόρρω ποι τῆς κοινῆς ἐπαύλεως ἰδιαζόντως τὴν σκήνωσιν. ἀλλ' ὅ τε τὴν ἀγγελίαν φέρων οὐκ ἐντετύχηκε τοῖς πρὸς οὓς αὕτη καὶ οἱ τῆς πόλεως φρουροὶ τοῖς ἐπήλυσιν ὡς οἰκήτορσι. σφαλέντες τὸν λογισμόν, ἐνέδοσαν τὴν εἰσέλευσιν. καὶ τὰ μὲν εἰς ἡμᾶς ὁ κηδεμὼν καὶ προστάτης οὕτως οἰκονομεῖ. τοὺς δ' ἀνελεῖν βεβουλημένους διὰ τῆς πλατείας fol. 252v ἐλάσας καὶ πλάνητας ἀποφήνας εἰκαίους ἀπελέγχει | καὶ μεμελετηκότας κενὰ καὶ ἀνήνυτα. κινδύνου δὲ κρείττους ἡμεῖς ἐκ τῆς τοῦ σώζοντος διατετηρημένοι σοφίας καὶ δεξιᾶς ὁρώμεθα τοῖς ἐν τῷ σεμνείῳ παρὰ τὴν ἐς αὐτοὺς διαβεβηκυῖαν φήμην δεινῶν παντοίων ἀπείρατοι. τὸ δ' οὐ τῶν ἀνεκτῶν ὁ διηνεκὴς ἡγεῖται πολέμιος οὐδὲ στέγει τὸ ἀπρακτῆσαι, τρέπεται δ' ἐπ' ἄλλην μεθοδείαν ἐτωσίου τῆς προτέρας ἐληλεγμένης.

XXIV. *Καί τινι τῶν σὺν ἡμῖν τῶν ἐγγύς, Γαβριὴλ κεκλημένῳ.* δι' οὗ καὶ τὰς ὑπομνήσεις ἐς βασιλέα διεβιβάζομεν. ὃν προσειληφότες αἰπόλον οὐ μικρᾶς ἐπιμελείας ἐν τοῖς ἐκτὸς ἐν τοῖς ἐντὸς ὅσον τὸ ἐφ' ἡμῖν ἠξιώσαμεν, ᾧ καὶ τὰ τῆς μοναδικῆς αὐτοὶ περιεθέμεθα χερσὶν οἰκείαις προσύμβολα, τούτῳ παρ' ἡμῶν ἐπενηνεγμένης ἐπιτιμήσεως, ὡς διὰ πυρὸς ἐπικεχωρη-

κότι τοὺς θημῶνας ἐξαναλῶσαι τῶν ἐν τῇ χώρᾳ. διενέξεως αὐτῶν μετ' αὐτοῦ προηγησαμένης. ὁ κακομήχανος ἐχθρὸς ὑποτίθησιν ἐκ τοῦ περὶ τὰ μὴ καλὰ τῶν πραττομένων ἡμᾶς συνήθως ἀσυνθετεῖν ἀπαισίους ἀγορίας ἀνενεγκεῖν. ὅθεν καί τινι τῶν ἐν ἀξιώμασι κεχρημένος ὁ Γαβριὴλ σοφιστῇ καὶ συσκευαστῇ καὶ προαγωγῷ τοῦ τεχνάσματος, τὴν οἴκησιν ἐκ προγόνων ἐσχηκότι κατ' Ἔφεσον καὶ μετὰ τῆς ἀρχῆς ἐν ταύτῃ τῷ τότε διάγοντι — Θεόδοτος αὐτῷ Καλόθετος τὸ μὲν ὄνομα. τὸ δ' ἐπώνυμον· εἴθε μηδέτερον ἀντιπεφρασμένον ἦν ἐξ ἀμφοῖν· — εἰς τὰ βασίλεια μετ' αὐτοῦ φέρεται καὶ δι' αὐτοῦ εἰσάγεται καὶ τῷ βασιλεῖ παρίσταται καὶ διαγορεύει τὰς συμφορήσεις ὁ μοναστής. ὁ μὲν οὖν ὅ τε προβιβαστὴς ἀνήκεστα παραχρῆμα τοὺς οὕτω κατειργασμένους ᾤοντο πείσεσθαι καὶ κακώσεων αὐτοῖς ἀφορήτων ἐπαγωγὰς ἐφαντάζοντο καὶ ῥύακας ἀλγεινῶν ὑπερεκχεομένους, ἕως αὐτῆς ἥκοντας τῆς ψυχῆς. ἀλλ' ὁ διασκεδάζων βουλὰς ἐθνικὰς καὶ λογισμοὺς ἀθετῶν ἀρχομένων καὶ ἀρχόντων κακῶς, ὁ σοφός τε καὶ κραταιὸς ἡμῶν ὑπερήγορος καὶ προασπιστὴς ὡς ἄχυρον χνοῦν ἐξ ἅλωνος ὑπὸ θερινῆς λαίλαπος οὕτως ἐκ τῆς βασιλικῆς διανοίας ὑπὸ πνεύματος ἐπισκήψεως οἵας οἶδεν αὐτὸς ἐκλιμᾷ καὶ διασκεδάννυσι τοὺς τῆς κακορρημοσύνης σωρούς. ὁ δὲ τὸ δρᾶμα πᾶν ἐξυφήνας, εἰ καὶ τὸν στήμονα καὶ τὴν κρόκην παρεῖχεν ἕτερος, ἐν βραχεῖ τῶν εἰργασμένων διὰ τῆς τῶν ἐγκάτων fol. 253r διαβρώσεώς τε καὶ ἀποθέσεως εἰσπράττεται δίκας. ὃς ἐς τὴν καθ' ἡμῶν ἐξώκειλε τοσαύτην ἀπέχθειαν, ὅτι τοῦ Θαυματουργοῦ κτῆσιν ἐκ πατρικῆς πλεονεξίας σφε-

15 πείσεσθαι] πίσεσθαι M | 24 δρᾶμα] δράμα M

τεριζόμενος δι᾽ ἡμῶν ταύτην τῷ δικαιουμένῳ παρὰ τοῦ προβεβασιλευκότος ἐπανασεσωσμένην τεθέατο. κύτον οὖν ἐς τοὺς δι᾽ ὧν ταμιευόμενος, ἐπεὶ δυναστείας ἐσχήκει καιρόν, προαφελόμενος τὴν κτῆσιν ἐκθύμως τῶν λελυπηκότων κατέδραμε. καὶ ὁ μὲν τὴν ζωὴν ἐν ὑπερβαλλούσῃ πικρίᾳ καὶ καταγνώσει κατέστρεψεν. ἡμᾶς δ᾽ ἐκ τῶν τοιούτων ὑποδειγμάτων χρὴ συνετίζεσθαι τὸ τῶν πονηρῶν ἐπιτηδευμάτων ἀπέχεσθαι τῶν ὅλων. ἵνα μὴ χείροσι καὶ ἀπευκταιοτέροις ἐγκύρσωμεν. ἔστι γὰρ ἔστι τοῦ πάντα σοφῶς τὰ ἡμέτερα διεξάγοντος καὶ τὸ δι᾽ ἀλγεινῶν ῥαγδαίας ἐπιφορᾶς, ὅτε δέον εἶναι κρινεῖ, τὰς τῆς κακίας ἀνακόπτειν ὁρμὰς ἐν τοῖς ἀλογοῦσι καὶ μάλιστα τῆς ἐκεῖ τῶν πεπραγμένων λογιστείας καὶ ἀποφλήσεως.

EX NICEPHORI BLEMMYDAE TYPICO CAPITA TRIA.

θʹ. *Περὶ τῶν προσιόντων ἐπὶ τῷ μονάσαι.*

Τοὺς ἐπὶ τῷ μονάσαι προσιόντας τῷ ἡσυχαστηρίῳ fol. 370v καὶ ἀφ᾽ ἡλικίας προσδεκτέον δεκαετοῦς, εἰ τὸ ἦθος ἔχοντες φαίνοιντο πρὸς τὴν κατὰ θεὸν διαγωγὴν ἐπιτήδειον, ἐπεὶ καὶ κανὼν τεσσαρακοστὸς τῆς ἕκτης οἰκουμενικῆς συνόδου φησίν· ‛ἔστω τοίνυν ὁ μέλλων τὸν μοναχικὸν ὑπέρχεσθαι ζυγὸν οὐχ ἧττων ἢ δεκαετής.᾽ μηδαμῶς οὖν ἀποπεμπτέον αὐτοὺς διὰ τὸ πολὺ τῆς νεότητος ἀλλὰ μηδὲ τοὺς οἰκείους αὐτῶν παραχωρητέον ἀποσπᾶν τοὺς τοιούτους τοῦ ἡσυχαστηρίου βιαίως. οὐ γὰρ ἐπιτρέπει τοῦτο τῆς πολιτείας ὁ νόμος. ‛ἀπαγορεύομεν γάρ᾽ φησι ‛τοῖς γονεῦσι τοὺς ἰδίους παῖδας μοναχικὸν βίον ἐπιλεγομένους τῶν εὐαγῶν μοναστηρίων ἀφέλκειν.᾽ ἀντιληπτέον οὖν τῶν παίδων καὶ προνοητέον ὅση δύναμις τῆς ὠφελείας αὐτῶν· ὁ γὰρ διδάξας αὐτοὺς τὴν κατὰ Χριστὸν πολιτείαν στόμα ἐστὶ Χριστοῦ. δοκιμώτεροι δὲ τῶν ἄλλων ὡς ἐπίπαν εὑρίσκονται οἱ ἐξ ἁπαλῶν | ὀνύχων τὴν πνευματικὴν fol. 371r

6 sq. δεκαετής] δεκαέτης M ‖ 12 ἐπιλεγομένους] ἐπιλεγομένοις M

ἐπιστήμην δεδιδαγμένοι, καθάπερ ἐστὶν ἰδεῖν καὶ ἐπὶ
τῶν ἄλλων ἐπιστημῶν καὶ τεχνῶν. πλὴν χρὴ μετὰ
πολλῆς αὐτοὺς ἀνέχεσθαι νήψεως, ἐν τε τροφῇ παι-
δευομένους καὶ ὕπνῳ καὶ λόγῳ καὶ βλέμματι καὶ ἄλ-
λοις ὅσοις δεῖ τὴν ἐγκράτειαν, μὴ παρρησίαν πρὸς
ἀλλήλους ἔχοντας ἢ τοὺς τῷ χρόνῳ προήκοντας ἢ
ὅλως εἰσιόντας ἐν κελλίῳ, μονάζοντας μὴ μετά τινων
ἰδιάζοντας ἀλλ' ἐν τῷ φανερῷ διάγοντας, καὶ πρὸς
ἑαυτοὺς νεύοντας καὶ σύνεσιν ἐκπαιδευομένους καὶ
ἄσκησιν, ἀπορραγέντας πρότερον τῆς τῶν γονέων καὶ
τῶν λοιπῶν προσγενῶν συνευλίας καὶ ὁμιλίας ἐς τέ-
λεον. πολλοὺς ἡμεῖς οὕτως ἀνέξαντες, τοῦ θεοῦ συνε-
τίζοντος, εἰς μέγαν ἀρετῆς βαθμὸν πεφθακότας κατεί-
δομεν, σωφρονεστάτους ἀποτελεσθέντας καὶ πράξει καὶ
λόγῳ καὶ αὐταῖς ἐνθυμήσεσιν ἐκ τῶν πυκνῶν παραι-
νέσεων ὁμοῦ καὶ ἐπιτηρήσεων καὶ πολυειδῶν ἀποκρί-
σεων. ποίαν ἐν ἐκείνοις ἔσχε ποτὲ χώραν ἡ ἐπάρατος
αἰσχρολογία, ἡ ὁμολογουμένως τὸν ταύτῃ χρώμενον
ἀφιστῶσα τοῦ ἁγίου θεοῦ καὶ τοῖς αἰσχροῖς συντάτ-
τουσα δαίμοσι; πάντες εἰς ἄκρον σεμνολόγοι τε καὶ
σεμνότροποι· ταπεινόφρονες. ἔγνωσαν γὰρ τὴν τα-
πεινοφροσύνην ῥίζαν τῶν ἀρετῶν· ἀληθεῖς. ᾔδεσαν
γὰρ ὅτι τὸ ψεῦδος πᾶν ἐκ τοῦ πονηροῦ· τὸ δὲ μὴ
ὀμνύειν ὅλως, οἷα δεσποτικὸν εὐχερέστατον ἔνταλμα,
κούφως καὶ λίαν ἀπόνως κατώρθωσαν· τὴν πρὸς τὸν
αὐτῶν παιδευτὴν ἀλλὰ δὴ καὶ πρὸς ἀλλήλους ὑπακοὴν
καὶ ὑπηρεσίαν ἔργοις ἑκάστοτε παρίστων ὡς πεφιλή-
κασιν, ἄσχετοι κόσμῳ καὶ τοῖς ἐν κόσμῳ, κρείττους
γαστρὸς καὶ λαιμοῦ, χαμαεῦνεις, σκληροκοῖται, πάσης
σαρκικῆς θεραπείας ὑπέρτεροι, μηδὲ τοῦ ἑαυτῶν κατα-
δεχόμενοι περιβλήματος γνώμῃ δεσπόζειν ἐξ ἀκτησίας

μειλικρινοῦς· ἔριν τὴν γε κακόχαρτον μετὰ τῆς μισα-
δελφίας ὡς ἐπιμωμητὴν ἀπεπέμψαντο, τὴν δ' ἀγαθὴν
μετὰ τῆς φιλαδελφίας ὡς ἐπαινετὴν ᾠκειώσαντο. μὴ f. 137v
τόσον ἄλλους ἄλλοι παραζηλοῦντες εἰς ἐπαύξησιν ἀρε-
τῆς ἰδιάζουσαν ὅσον ἀλλήλους εἰς τὸ καλὸν παραθή-
γοντες. φιλάδελφοι γὰρ οὕτω γεγόνασιν, ὡς ἕκαστον
ἑαυτοῦ παντοίως ἐν πᾶσιν ὑπερτιθέναι τὸν ἕτερον.
ἐπεὶ γοῦν οὕτως ἀνδρὶ καθέστηκεν ἀγαθόν, ὅταν ἄρῃ
ζυγὸν ἀρετῆς ἐν νεότητι, προσληπτέον γουνεχῶς τὴν
νεότητα καὶ μὴ παραιτητέον διὰ τὸ ἐπίπονον τῆς
ἀναγωγῆς τε καὶ φυλακῆς καὶ τὸ διὰ ῥαθυμίαν καὶ
ἀμέλειαν ἐπικίνδυνον. ἀλλὰ ταῖς ἀπονήροις καρδίαις
ὥσπερ καθαροῖς πίναξιν ἐγγραπτέον πάσῃ σπουδῇ τὰ
τῆς σωτηρίας γράμματα καὶ διδάγματα διὰ τὴν πρὸς
τὸν σωτῆρα καὶ καθηγητὴν αἰδῶ, τὸν κοινόν, ἢ μέντοι
γε δι' ἀντάμειψιν.

Πρῶτον μὲν οὖν οἱ νεώτατοι μελανειμονείτωσαν
μόνον, ἕως ἂν ὑπερβαῖεν τὸν δωδέκατον ἐκ γενέσεως
ἐνιαυτόν. εἶτα μετὰ τὴν τοιαύτην προγυμνασίαν ῥακεν-
δυτείτωσαν, εἰ μὴ κοσμοχαρεῖς ἀπελεγχθεῖεν ἐν το-
σούτῳ καὶ ἀνεπιτηδείως ἔχοντες πρὸς τὴν ὄντως ἀπο-
ταγήν. ἐν δὲ τῇ ῥακενδυσίᾳ δοκιμασθέντες ἀρίστως
ἔτεσιν ὑπερέκεινα τῶν ἑπτὰ καὶ ἄξιοι φανέντες τοῦ
μοναδικοῦ σχήματος, τέλειον αὐτὸ προαιρούμενοι λαμ-
βανέτωσαν ἡλικίαν τὴν εἰκοσαετῆ παραμείψαντες. ὅσοι
δὲ καὶ τὴν ἡλικίαν ἐντελεῖς ὄντες καὶ τὸν λογισμὸν
στερεοὶ τῷ ἡσυχαστηρίῳ προσίασιν, ἑνὶ μὲν ἐνιαυτῷ
μελανειμονείτωσαν, δυσὶν ἔτεσιν αὖθις ῥακενδυτείτω-
σαν· καὶ μετὰ τὴν τοιαύτην τριετίαν τὸ μοναδικὸν εἰ
βούλοιντο σχῆμα περιβεβλήσθωσαν, ἀξίως ἔχοντες τῆς
τούτου περιβολῆς. ἀλλὰ ταῦτα μὲν ὁροθετοῦμεν

ἐπιστήμην δεδιδαγμένοι. καθάπερ ἐστὶν ἰδεῖν καὶ ἐπὶ
τῶν ἄλλων ἐπιστημῶν καὶ τεχνῶν. πλὴν χρὴ μετὰ
πολλῆς αὐτοὺς ἀνάγεσθαι νήψεως, ἔν τε τροφῇ παι-
δευομένους καὶ ὕπνῳ καὶ λόγῳ καὶ βλέμματι καὶ ἄλ-
λοις ὅσοις δεῖ τὴν ἐγκράτειαν. μὴ παρρησίαν πρὸς
ἀλλήλους ἔχοντας ἢ τοὺς τῷ χρόνῳ προήκοντας ἢ
ὅλως εἰσιόντας ἐν κελλίῳ. μονάζοντας μὴ μετά τινων
ἰδιάζοντας ἀλλ' ἐν τῷ φανερῷ διάγοντας, καὶ πρὸς
ἑαυτοὺς νεύοντας καὶ σύνεσιν ἐκπαιδευομένους καὶ
ἄσκησιν, ἀπορραγέντας πρότερον τῆς τῶν γονέων καὶ
τῶν λοιπῶν προσγενῶν συναυλίας καὶ ὁμιλίας ἐς τέ-
λεον. πολλοὺς ἡμεῖς οὕτως ἀνέξαντες, τοῦ θεοῦ συνε-
τίζοντος. εἰς μέγαν ἀρετῆς βαθμὸν πεφθακότας κατεί-
δομεν. σωφρονεστάτους ἀποτελεσθέντας καὶ πράξει καὶ
λόγῳ καὶ αὐταῖς ἐνθυμήσεσιν ἐκ τῶν πυκνῶν παραι-
νέσεων ὁμοῦ καὶ ἐπιτηρήσεων καὶ πολυειδῶν ἀποκρί-
σεων. ποίαν ἐν ἐκείνοις ἔσχε ποτὲ χώραν ἡ ἐπάρατος
αἰσχρολογία. ἢ ὁμολογουμένως τὸν ταύτῃ χρώμενον
ἀφιστῶσα τοῦ ἁγίου θεοῦ καὶ τοῖς αἰσχροῖς συντάτ-
τουσα δαίμοσι; πάντες εἰς ἄκρον σεμνολόγοι τε καὶ
σεμνότροποι ταπεινόφρονες, ἔγνωσαν γὰρ τὴν τα-
πεινοφροσύνην ῥίζαν τῶν ἀρετῶν ἀληθεῖς. ᾔδεσαν
γὰρ ὅτι τὸ ψεῦδος πᾶν ἐκ τοῦ πονηροῦ· τὸ δὲ μὴ
ὀμνύειν ὅλως, οἷα δεσποτικὸν εὐχερέστατον ἔνταλμα,
κούφως καὶ λίαν ἀπόνως κατώρθωσαν· τὴν πρὸς τὸν
αὐτῶν παιδευτὴν ἀλλὰ δὴ καὶ πρὸς ἀλλήλους ὑπακοὴν
καὶ ὑπηρεσίαν ἔργοις ἑκάστοτε παρίστων ὡς πεφιλή-
κασιν. ἄσχετοι κόσμῳ καὶ τοῖς ἐν κόσμῳ. κρείττους
γαστρὸς καὶ λαιμοῦ, χαμαεύνεις, σκληροκοῖται, πάσης
σαρκικῆς θεραπείας ὑπέρτεροι, μηδὲ τοῦ ἑαυτῶν κατα-
δεχόμενοι περιβλήματος γνώμῃ δεσπόζειν ἐξ ἀκτησίας

μειλικρινοῦς· ἔριν τὴν γε κακόχαρτον μετὰ τῆς μισα-
δελφίας ὡς ἐπιμωμητὴν ἀπεπέμψαντο. τὴν δ' ἀγαθὴν
μετὰ τῆς φιλαδελφίας ὡς ἐπαινετὴν ᾠκειώσαντο. μὴ fol. 351v
τόσον ἄλλους ἄλλοι παραζηλοῦντες εἰς ἐπαύξησιν ἀρε-
τῆς ἰδιάζουσαν ὅσον ἀλλήλους εἰς τὸ καλὸν παραθή-
γοντες. φιλάδελφοι γὰρ οὕτω γεγόνασιν, ὡς ἕκαστον
ἑαυτοῦ παντοίως ἐν πᾶσιν ὑπερτιθέναι τὸν ἕτερον.
ἐπεὶ γοῦν οὕτως ἀνδρὶ καθέστηκεν ἀγαθόν. ὅταν ἄρῃ
ζυγὸν ἀρετῆς ἐν νεότητι. προσληπτέον τοὐνεχῶς τὴν
νεότητα καὶ μὴ παραιτητέον διὰ τὸ ἐπίπονον τῆς
ἀναγωγῆς τε καὶ φυλακῆς καὶ τὸ διὰ ῥαθυμίαν καὶ
ἀμέλειαν ἐπικίνδυνον. ἀλλὰ ταῖς ἀπονήροις καρδίαις
ὥσπερ καθαροῖς πίναξιν ἐγγραπτέον πάσῃ σπουδῇ τὰ
τῆς σωτηρίας γράμματα καὶ διδάγματα διὰ τὴν πρὸς
τὸν σωτῆρα καὶ καθηγητὴν αἰδῶ, τὸν κοινόν. ἢ μέντοι
γε δι' ἀντάμειψιν.

Πρῶτον μὲν οὖν οἱ νεώτατοι μελανειμονείτωσαν
μόνον, ἕως ἂν ὑπερβαῖεν τὸν δωδέκατον ἐκ γενέσεως
ἐνιαυτόν. εἶτα μετὰ τὴν τοιαύτην προγυμνασίαν ῥακεν-
δυτείτωσαν, εἰ μὴ κοσμοχαρεῖς ἀπελεγχθεῖεν ἐν το-
σούτῳ καὶ ἀνεπιτηδείως ἔχοντες πρὸς τὴν ὄντως ἀπο-
ταγήν. ἐν δὲ τῇ ῥακενδυσίᾳ δοκιμασθέντες ἀρίστως
ἔτεσιν ὑπερέκεινα τῶν ἑπτὰ καὶ ἄξιοι φανέντες τοῦ
μοναδικοῦ σχήματος, τέλειον αὐτὸ προαιρούμενοι λαμ-
βανέτωσαν ἡλικίαν τὴν εἰκοσαετῆ παραμείναντες. ὅσοι
δὲ καὶ τὴν ἡλικίαν ἐντελεῖς ὄντες καὶ τὸν λογισμὸν
στερεοὶ τῷ ἡσυχαστηρίῳ προσίασιν. ἑνὶ μὲν ἐνιαυτῷ
μελανειμονείτωσαν, δυσὶν ἔτεσιν αὖθις ῥακενδυτείτω-
σαν· καὶ μετὰ τὴν τοιαύτην τριετίαν τὸ μοναδικὸν εἰ
βούλοιντο σχῆμα περιβεβλήσθωσαν. ἀξίως ἔχοντες τῆς
τούτου περιβολῆς. ἀλλὰ ταῦτα μὲν ὁροθετοῦμεν κιν-

δύνου μηδενὸς ὑφορωμένου· κατεπειγούσης δὲ τῆς ἀποβιώσεως τὸ σχῆμα τὸ ἅγιον ἀνυπερθέτως τοῖς μεθ- ισταμένοις δοθήσεται. σχήματος δὲ μοναδικοῦ κατὰ fol. 372r τὸν τῆς ἀληθείας λόγον οὐκ ἔστι διαφορά, κἂν ἡ τῶν ὑστερογενῶν ἐπίνοια τὴν ἀρχαίαν παράδοσιν ὑπε- νόθευσεν. εἴ τινες μέντοι τοὺς τῆς ἀποταγῆς ὑποδει- λιῶντες ἄθλους ὀκνοῦσιν ἀποδύσασθαι διὰ τῶν συν- θηκῶν πρὸς αὐτούς, ῥακενδυτοῦντες μενέτωσαν, ἐς ὃ τὴν ὅλην συντείνειαν εὐθαρσῶς ὁρμὴν τῆς ψυχῆς πρὸς τοὺς πνευματικοὺς ἀγῶνας καὶ ἱεροὺς ἐπ' ἐλπίδι τῶν ἐπάθλων, καὶ τὰ τῶν συνθηκῶν ἐκπληροῖεν καὶ πρὸ τῶν συνθηκῶν.

ια'. Περὶ τῆς τῶν ἀσκητῶν τροφῆς.

Ἅπαξ τῆς ἡμέρας τράπεζα μετὰ τὴν ἕκτην ὥραν τῷ καιρῷ καταλλήλως εὐτρεπιζέσθω μετὰ πάσης ἐπι- μελείας τοῖς ἀδελφοῖς· ὅσοι τε δι' ἐγκράτειαν θεοφιλῆ τῶν παχυτέρων ἐδεσμάτων ἀπέχεσθαι βούλονται μὴ κωλυέσθωσαν εἰς τοῦτο, μὴ περιφρονείσθωσαν ὅλως, ἀλλ' ἑτοιμαζέσθω αὐτοῖς ἡ τροφὴ καθ' ὅσον ἂν προαι- ροῖντο λιτή. παρεσκευάσθω δὲ καὶ θερμὸν ὕδωρ, εἴπερ ἐθέλοιεν αὐτὸ πίνειν, ἐν ᾧ ἀφήψηται κύμινον ἢ μάρα- θρον· τὸ μὲν γὰρ ἄφυσον καὶ τῶν κατὰ γαστέρα πνευμάτων κωλυτικόν, τὸ δὲ πρὸς τῷ τοιαύτης δυνά- μεως εἶναι καὶ πρὸς ὀξυδορκίαν συμβάλλεταί πως. θερμὰ καὶ ἄμφω, κατὰ τὴν τρίτην ἐγγὺς ἀπόστασιν, οὐ ξηραντικά, χρησιμώτατα κατὰ πολὺ καὶ μᾶλλον τὸ μάραθρον, οὐ κατὰ σπέρμα μόνον ἀλλὰ καὶ κατὰ κλῶ- νας καὶ κόμην. τὸ δέ γε ψυχρὸν ὕδωρ συνεχῶς πινό-

1 κατεπειγούσης] κατηπειγούσης M

μενον τοῖς μὴ ἐρρωμένον αὐχοῦσι τὸν στόμαχον βλαπτι- κόν. ἐπεὶ δὲ τοῖς ἀσκηταῖς ὑφηγούμεθα τὸ μονοσιτεῖν αὐτούς, ἀρχαίῳ νόμῳ τῶν ἐν ἀσκήσει λαμψάντων ἑπό- μενοι, τοῖς οὐκ εὐσθενέσιν εἰς τοῦτο συγκαταβαίνοντες παραχωροῦμεν καὶ πρὸς ἑσπέραν ἐκ τῶν παρευρημένων ἐσθίειν αὐτούς. ἐπεὶ δὲ τῶν μακρῶν νηστειῶν τοῖς πατράσι προκέκριται τὸ καθ' ἡμέραν ἐσθίειν παρὰ μικρόν, τοῦτ' ἔστιν ἄνευ κόρου καὶ πλησμονῆς, | κἀγὼ fol. 372v τῇ τῶν πατέρων κρίσει συντίθεμαι καὶ τὸ κατὰ πᾶσαν ἁπλῶς ἡμέραν σιτεῖσθαι τοὺς μοναστὰς ἐγκρατῶς οὐκ ἀναγκάζω μέν, ἀποδέχομαι δέ· τοῦτο γὰρ καὶ τῦφον ἀπελαύνει καὶ πρὸς τὰς πνευματικὰς ἐργασίας ἰσχὺν εἰσοικίζει τῷ σώματι. τὸ δὲ τετράδας τινὰς καὶ παρα- σκευὰς ὡς σάββατα καὶ κυριακὰς διὰ λιχνείαν λογί- ζεσθαι προφάσει χαρμονῆς δεσποτικῶν ἑορτῶν ἢ ἀνα- τροπῆς αἱρετικῶν ἐρεσχηλιῶν, οὐκ ἀναγκαῖον τέως ἐμοὶ καταφαίνεται. πνευματικῶς μὲν γὰρ τρυφᾶν ἀλλ' οὐ σωματικῶς ἐν ταῖς θείαις ἑορταῖς οἱ τοῦ θεοῦ δε- διδάγμεθα. τὰς δὲ τῶν αἱρετικῶν νηστείας οὐ κατὰ τετράδας μόνας γινομένας ἐμάθομεν ἢ παρασκευάς, ἀλλὰ κατὰ πάσας ἐκείνας τὰς ἑβδομάδας, ἐν αἷς τὰς τετράδας καὶ τὰς παρασκευάς τινες οὐκ οἶδ' ὅπως ἐσημειώσαντο. τέως δ' οὖν ἐν ταῖς τοιαύταις τετράσι τε καὶ παρασκευαῖς ἐδεσμάτων μὲν ἑψητῶν ἄνευ ἐλαίου γινέσθω μετάληψις, οἴνου δὲ χρῆσις, κἀντεῦθεν <χαρ- μονὴ> εὐφροσύνη τέ τις ἐπακολουθήσει σωματική· τί γὰρ οἴνου πλέον καρδίαν εὐφραίνειν ἀνθρώπου δύνα- ται; καὶ ὁ περὶ τετράδος καὶ παρασκευῆς ἀδιάστικτος ἀποστολικὸς κανὼν οὐκ ἀνατραπήσεται.

5 παρευρημένων] παρ' εὑρημένων M ‖ 11 τῦφον] τύφον M 13 τὸ] τῷ M ‖ 25 <χαρμονὴ> om. M

ιγ΄. Περὶ τοῦ τὰς εἰς θεὸν ἐντεύξεις ἄνευ ᾀσμάτων τελεῖσθαι καὶ πᾶσαν εὐταξίαν εἶναι ἐν τῷ ναῷ.

Τοῖς ἑαυτοὺς ὅλους ἐκδεδωκόσι τῷ παραγαγόντι θεῷ καὶ πάντα κόσμον παρωσαμένοις διὰ τὴν ἀγάπην τοῦ ἐκλεξαμένου αὐτοὺς ἐκ τοῦ κόσμου καὶ τὴν ὑπερκόσμιον ἑλομένοις ἐν κυρίῳ ζωὴν καὶ ὑπὲρ τοὺς πολλοὺς ὁρᾶσθαι προσήκει καὶ τῆς κοινῆς καὶ καθωμιλημένης ὑπερτέροις εἶναι διαγωγῆς. ὅθεν οἱ τῆς ἡσυχίας ἐπώνυμοι καὶ τῆς ἀσκήσεως ἐργασταὶ πᾶσαν ἐπίνοιαν
fol. 373r τερπωλῆς | ὅλως λιπόντες καὶ μέθοδον εὐσταθῶς καὶ ἀμεθελκύτως τῷ θεῷ προσανέχειν ἑαυτοὺς σκυτεινέτωσαν, νῷ καὶ λόγῳ καὶ πράξει, τοῖς ὅλοις, εἰλικρινεστάτως αὐτῷ λατρεύοντες. ὅθεν μηδὲ τοὺς ὕμνους καὶ τὰς δεήσεις ᾀσματικῶς ἐκφωνεῖν μετὰ μελῳδίας καὶ ἤχων ἐναλλαγῆς προθυμείσθωσαν, οὐχ' ὅτι τὸ οὕτω ψάλλειν ἀπόβλητον — ἀποδεκτὸν γὰρ καὶ μᾶλλον ἐν ταῖς κοιναῖς συνελεύσεσιν, ἐπεὶ καὶ τοῖς πολλοῖς καὶ τούτων ἔτι τοῖς νωθεστέροις ἁρμοδιώτατον· καὶ νυσταγμὸν γὰρ ἀφαιρεῖται καὶ ὄκνον ἀπελαύνει καὶ τὰ πολλὰ συμβάλλεται πρὸς διέγερσιν — ἀλλ' ὅτι τοῦ καλοῦ κρεῖττον καὶ τοῦ τιμίου τιμιώτερον καὶ τοῖς σπουδαίοις ἐπιπρεπέστατον τὸ χωρίς τινος ἡδονῆς παραρτήματος θυμηδίᾳ μόνῃ πνευματικῇ καὶ χαροποιῷ κατανύξει γεραίρειν καὶ δυσωπεῖν ὅλῃ τάσει ψυχῆς

3 ὑπερκόσμιον] ὑπὲρ κόσμιον M ‖ 11 λατρεύοντες] λατρεύοντας M

ἀνοθεύτῳ τὸν κύριον. ἡ δὲ κατὰ τὴν ὑμνολογίαν καὶ ἱκεσίαν ἔστω φωνὴ μήτε λίαν ἠρεμαία καὶ οἷα τῶν ἀποψυχόντων μήτε βίαιος καὶ τὰ ὄργανα διαρρήσσουσα· πανταχοῦ γὰρ τοὐπίπαν ἡ μεσότης ἐπαινετή. πᾶσα δ' ἀργείτω παντελῶς ὁμιλία καὶ ἡ δοκοῦσα χρησιμωτάτη κατὰ πάντα καιρὸν ἁπάσης πρὸς τὸν δεσπότην ὑμνήσεως ἢ δυσωπήσεως, ἀλλὰ κἂν τοῖς διαλείμμασιν ἐκτετοπίσθω τοῦ ἱερωτάτου ναοῦ πᾶσα κοινὴ λαλιὰ καὶ μὴ ὅλη κατὰ θεόν. μήτε δὲ καθήμενός τις λεγέτω τι τῶν θείων καὶ ἱερῶν, ὥς τινες ἢ καὶ πάντες σχεδὸν τὰ λεγόμενα καθίσματα ψάλλειν εἰώθασιν, ἀλλὰ πάντες πάντα λεγέτωσαν ἑστῶτες τὰ θεῖα καὶ ἱερά, μήτε καθισάτω μηδεὶς ἐκτὸς ἀναγνώσεως καιροῦ, μηδ' ὁ πάντων γεραίτατος ἢ νοσωδέστατος, ἀλλ' ὁ μὴ δυνάμενος ἵστασθαι, γέρων ὢν ἀσθενὴς ἢ νόσῳ ταλαιπωρούμενος, ἐξιὼν τοῦ ναοῦ διὰ τοῦ καθίσαι κατὰ μεγάλην βίαν ἐπὶ μικρὸν τυγχανέτω μικρᾶς ἀνέσεως, μὴ παρὰ τῶν πολλῶν καθορώμενος. ἀλλὰ μηδὲ παροδευέτω τις μέσον τοῦ ναοῦ, τῆς θείας ἐπιτελουμένης
ἐντεύξεως, εἰ μὴ δι' ὑπηρεσίαν ἱερὰν ἀπαραίτητον ἐν fol. 373v
μόναις ταῖς ἀναγνώσεσιν. εὐταξία πᾶσα καθοράσθω κἂν τῷ ναῷ κἂν παντὶ τῷ σεμνείῳ παρὰ παντὸς τοῦ σεμνοτάτου πληρώματος τῶν ἀσκητῶν καὶ ἡσυχαστῶν.

fol. 87r *Τοῦ ὁσιωτάτου ἐν μοναχοῖς, ἱερωτάτου καὶ φιλοσοφωτάτου κυροῦ Νικηφόρου τοῦ Βλεμμύδου πρὸς τὸν ἀοίδιμον βασιλέα κυρὸν Ἰωάννην τὸν Δούκαν.*

Ἤιδειν καὶ πρότερον, καλῶς ἐκ τῶν πραγμάτων ᾔδειν
τὴν ἀρετήν τε τὴν πολλὴν καὶ τὴν ἁγιωσύνην
τοῦ μεγαλαυτοκράτορος καὶ σοφοῦ βασιλέως·
τὰ νῦν δὲ κρεῖττον ἔμαθον, ἀρίστως ἐδιδάχθην
τὸ κραταιοφρονέστατον τοῦ κραταιάνακτός μου
καὶ τὸ βασιλικώτατον εἰς σύνεσιν, εἰς γνῶσιν
καὶ τὸ τῆς διακρίσεως ἐξαίρετον ἐν πᾶσι,
τὸ σταθερόν, τὸ πάγιον, τὸ βέβαιον τῆς γνώμης
ὑπὲρ ὁπόσους πρακτικοὺς ἠθικοδιδασκάλους
καὶ λογοκομπορρήμονας καὶ φιλοσοφολέσχας,
μέχρις ἐπαγγελίας τε τὸ τῆς ψυχῆς ἀνδρεῖον.
ἀλλ' ὁ κρατάρχης μάρτυρας προτείνει τῆς ἀνδρίας
ἐν τοῖς ἐντός, ἐν τοῖς ἐκτὸς οὐ μεγαληγορίας
οὐδὲ καυχήσεις περιττάς, οὐ πιθανολογίας,
ἀλλὰ μετὰ πραότητος ὄντως χριστομιμήτου
ἔργα μεγάλα καὶ λαμπρὰ καὶ πράξεις θαυμασίας.
ὡς τὴν δικαιοσύνην γὰρ τὴν καθολικωτάτην
κτησάμενος ἐκόσμησεν αὐτοῦ τὴν βασιλείαν.

Sub illo titulo rubro colore scripto hic alter legitur: *Τοῦ Βλεμμύδου στίχοι πολιτικοί, ὅτε ὁ μαθητὴς αὐτοῦ ὁ Ῥωμανὸς ἀθέσμους καὶ ἀνοσίους διαβολὰς ἐκίνησε κατ' αὐτοῦ πρὸς τὸν βασιλέα τὸν ἅγιον, ὁ δὲ οὐ προσέσχεν αὐταῖς.*

τῷ τῆς ψυχῆς βασιλικῷ λόγῳ καθυποτάξας
θυμόν, ἐπιθυμίαν τε νόμοις εὐθυδικίας,
καὶ δοὺς αὐτῷ τὴν φρόνησιν, στέφος τῆς κραταρχίας,
τὸ δ' αὖ ἐπιθυμητικὸν θυμῷ καθυποκλίνας,
γνώρισμα τῆς ὑπακοῆς λαβὼν τὴν σωφροσύνην,
τῷ θυμικῷ δὲ τῆς ἀρχῆς τῆς πρὸς ἐπιθυμίαν
καὶ τῆς πρὸς τὸ λογιστικὸν ὑποταγῆς ἀρίστης fol. 87v
ὁμοῦ τῶν δύο σύμβολον παρασχὼν τὴν ἀνδρίαν.
κρατῆσαν γὰρ τὸ θυμικὸν ἐξώρισε δειλίαν,
πάλιν δὲ κατακρατηθὲν ἀπέρριψε τὸ θράσος
τὴν ἀμφοτεροδέξιον εἰσαγαγὸν ἀνδρίαν,
τῶν δύο τὸ μεσαίτατον τηροῦσαν ἀκροτήτων,
ὑπερβολὰς δ' ἀπόλλουσαν καὶ τὰς ἐλλείψεις ὅλας,
ἀνδρίαν. ἣν ὁ κράτιστος εἴληφεν αὐτοκράτωρ
ὁμόσκηνον, συνόμιλον, μᾶλλον συμφυεστάτην
πολεμαρχῶν, εἰρηναρχῶν, νομοθετῶν, δικάζων,
λόγοις παρακρουόμενος ἀπατηλοῖς οὐδ' ὅλως
οὐδὲ συναρπαζόμενός ποτε ψευδολογίαις
ἀνδρῶν πανούργων, δολερῶν, ἀνδρῶν κακομηχάνων,
ἀλλὰ μετ' ἐξετάσεως, μετὰ δοκιμασίας
καὶ γυμνασίας νουνεχοῦς καὶ πολυπραγμοσύνης
καὶ μετ' ἐρεύνης ἀκριβοῦς καὶ κρίσεως ἐνδίκου
ἀνεπιλήπτους παντελῶς φέρων τὰς ἀποφάσεις,
τὸν ἔλεον πρὸ κρίσεως τιθεὶς θεομιμήτως
καὶ φιλανθρωπευόμενος ἐκ συμπαθοῦς καρδίας.
θαυμάζω μὲν ἐκ τῶν πολλῶν, ἐκ τῶν ἐμῶν δὲ πλέον,
τοῦ κραταιαυτοκράτορος τὴν τοσαύτην σοφίαν,
τὴν ἔξοχον πραότητα καὶ τὴν μακροθυμίαν,
τὴν στερεοφροσύνην τε καὶ μεγαλοψυχίαν

29 *εἰσαγαγὸν*] *εἰσαγαγὼν* L | 42 *πρὸ κρίσεως*] *προκρίσεως* L

τό τ' αὖ ἀπερικλόνητον, ἀπερίτρεπτον ὅλως,
καὶ ⟨τὸ⟩ θεοειδέστατον τῆς ἀνεξικακίας.
fol. 88r δίδαξον, ὦ παμμέγιστε, βασιλευτάτη φύσις,
πῶς οὐκ ἠλλοίωσαν ποσῶς μέχρι τοῦ σμικροτάτου
σὴν χρηστοημερότητα τόσαι συκοφαντίαι;
ἃς ἄνθρωπος ἐλάλησεν, ἀλλ' ὁ διδάξας ὄφις,
ὄφις ὁ παναρχέκακος, ὄφις ὁ βροτοκτόνος,
ὄφις τῆς ἔχθρας ὁ πατήρ, τοῦ ψεύδους, τῆς ἀπάτης,
ἐξ ὧν λαμβάνει τὴν ἀρχὴν πᾶσα συκοφαντία,
λαμβάνει μέντοι τὴν ἰσχὺν εἰς ἀνίσχυρον γνῶσιν.
ὅπου δὲ γνῶσις ἰσχυρά, κρατίστη, στερροτάτη,
ἐκεῖθεν ψεῦδος τρέπεται, φεύγει μακρὰν ἀπάτη.
ἔχθρα προκύψαι δὲ ποσῶς μὴ παραχωρουμένη
ἐκδαπανᾷ τὸν ἔχοντα, συντήκει, κατεσθίει,
καὶ θριαμβεύει τὴν ἐντὸς μανίαν ἐκ τῶν ἔξω.
λέγουσιν ὡς Ἀλέξανδρος ὁ μέγας, ὁ Φιλίππου,
ἀκούσας ὡς ὑβρίζει τις αὐτόν, ἀνταπεκρίθη·
'ἀπόντα καὶ τυπτέτω με', μνήμης ἄξιον φήσας.
ἀλλ' ὄντως ἀξιώτερον καὶ θαύματος καὶ μνήμης
ὁ λόγος, ὃν ὁ μέγιστος εἴρηκεν αὐτοκράτωρ.
ὡς γάρ τ' ἐγὼ ταῖς ὑλακαῖς ὡς δήγμασιν ἐπλήγην
τοῦ λυσσοκαρχαρόδοντος κερβέρου ταρταρίου
καὶ τὸν ὑπερουράνιον θεὸν ἐπεβοώμην,
τὸν τῇ χειρὶ κατέχοντα καρδίαν βασιλέως,
τῆς ἀληθείας μάρτυρα γενόμενον ἐλέγξαι
τὰς παμψευδεῖς διαβολὰς τῆς παμβασκάνου γλώσσης,
τῆς τελχινοτιτανικῆς ἐρινυώδους κάρας,
τῆς τυφωνοκορυβαντοχιμαιρυδρογοργόνης,
fol. 88v πολυφυοῦς, πολυμιγοῦς, θηρὸς παναλλοκότου,

49 ⟨τὸ⟩ om. L ‖ 74 ἐρινυώδους] ἐριννυώδους L

ποικιλομόρφου τέρατος, κακοῦ πολυσυνθέτου·
ὡς τας συκοφαντίας οὖν οὐκ ἔστεγον ἐκείνας,
ἃς εὐσεβὴς οὐκ ἄν ποτε ψυχὴ καθυπενέγκοι,
τὴν δέ γε κατεξέτασιν ἐζήτουν, ἠντιβόλουν,
αὐτάναξ ὁ θεόσοφος βασιλικῶς ἀντέφη·
'ἐγὼ δ' ἀλλ' οὐχὶ μέμνημαι, πάντων ἐπελαθόμην,
ὧν ἔφησεν, ὧν ἔγραψεν ὁ φλύαρος ἐκεῖνος.
ἐγώ' φησιν 'ὥσπερ τινὰ κενὸν ἀέρος κτύπον,
μάτην αὐτὰ τὰ πρόθυρα τῆς ἀκοῆς ὀχλοῦντα
καὶ πρὸς μηδὲν τὸ χρήσιμον ὅλως ἐκθορυβοῦντα,
οὕτως ἐκείνους ἅπαντας τοὺς λήρους ἡγησάμην.
καὶ πῶς ἂν εἶχον ἐφεξῆς μεμνῆσθαι τῶν τοιούτων;
οὓς δ' ἐν αὐλαῖς τῆς ἀκοῆς οὐχὶ παρεδεξάμην
ἀλλ' ὡς βεβήλους ἐναγεῖς εὐθὺς ἀπεπεμψάμην,
πῶς ἂν εἰς μνήμης ἄδυτα πέμψαι κατεδεξάμην;'
ὦ φρόνησις βασιλική, φρόνησις ὑπερτάτη,
φρόνησις ὑπερβάλλουσα, φρόνησις ἀκροτάτη·
ὦ γνῶσις ἀπαράμιλλε, γνῶσις ἀρχικωτάτη,
γνῶσις ὑπερασύγκριτε, γνῶσις ἐξῃρημένη·
ὦ σύνεσις ὑπερφυής, σύνεσις θαυμασία,
σύνεσις ὑπερέξοχε, σύνεσις οὐρανία·
σύνεσις, γνῶσις, φρόνησις, αἱ τρεῖς ἐκ τῆς τριάδος
τῆς πρώτης κυριότητος, τῆς πρώτης κραταρχίας,
ὅθεν ⟨τὸ⟩ κῦρος δέδοται τῷ βασιλεῖ καὶ κράτος,
ἐντεῦθεν γνῶσις, φρόνησις, σύνεσις πρὸς ἀξίαν,
ἵν' αὐτοκράτωρ ἀληθής, ὄντως χριστὸς κυρίου fol. 89r
τυγχάνῃ μαρτυρούμενος ὁ κραταιὸς αὐτάναξ,
αὐτοκρατῶν ταῖς ἀρεταῖς ταῖς βασιλικωτάταις.
δεῦτέ μοι πάντες συγγραφεῖς, οἱ λογογράφοι πάντες,

84 ἀέρος κτύπον] $\overset{\beta}{\text{κτύπον}}$ $\overset{\alpha}{\text{ἀέρος}}$ L ‖ 100 ⟨τὸ⟩ om. L

ἀπόφθεγμα νῦν γράψατε πανσόφου βασιλέως,
ἀπόφθεγμα πραότητος βασιλικῆς σημεῖον,
ἀπόφθεγμα παιδευτικὸν πρὸς βασιλεῖς τοὺς ἄλλους,
παιδευτικὸν βασιλικῆς ἀρίστης πολιτείας.
ὅπως χρεὼν τῶν συγγενῶν τῇ φύσει βασιλεύειν·
ἡμέρως, πράως, γαληνῶς, συμπαθῶς, φιλανθρώπως·
ὁποῖον ἦθος γνώρισμα βασιλικῆς ἀξίας·
στάσιμον, ὀχυρώτατον, ἀκράδαντον καθόλου,
φύλακας ἔχον καρτερούς, ἐπόπτας ἀνυστάκτους,
ἀπόρθητον, ἀσύλητον πάντοθεν διαμένον,
ὅλως ἀνεπιβούλευτον ἐξ ἄκρας ἀσφαλείας.
ἤλεγξε πρὶν ὁ Σολομὼν σοφῆς ἐξ ἐπινοίας
τὸν νεκρωθέντα τοκετὸν τοῦ δολεροῦ γυναίου·
ἰδοὺ δὲ πλέον δείκνυται τοῦ Σολομῶντος ὅδε,
ὅσῳ περ ἡ διάνοια σώματός ἐστι πλέον,
καὶ τοῦ νοῆσαι βράδιον τὸ γνῶναι παραυτίκα.
ἐλέγχει γὰρ ὁ βασιλεύς, ὁ πάνσοφος, τὸν τόκον
τῆς πονηρᾶς καὶ δολερᾶς ἐκτόπως διανοίας,
τῆς αὐτοφθόνου φαρμακοῦ, παναισχρουργοῦ μαινάδος
νενεκρωμένον, ἄμορφον ἄμβλωμα σεσημμένον,
ἄντικρυς μύσος, βδέλυγμα, ῥύπασμα, δυσωδίαν,
fol. 89v οὐ σκέψει πρὸς τὸν ἐλεγμὸν χρησάμενος, οὐ χρόνῳ·
φέρων γὰρ τμητικώτατον τὸν πρίονα τοῦ λόγου
ὀξύτατα διχοτομεῖ τὸ κρεῖττον καὶ τὸ χεῖρον,
τὸ μὲν προσλαμβανόμενος, τὸ δ' ἀποσκορακίζων.
ὡς ἄριστος δὲ συνεργὸς τῆς αὐτοαληθείας
ἀξίνῃ διακρίσεως μετὰ σπουδῆς ἐκκόπτει
ὡς δένδρον πονηρόκαρπον τὸ ψεῦδος ἐκ τῆς ῥίζης,
ἕως ἐλθὼν ὁ τῷ πυρὶ τὰ πάντα δοκιμάσων

119 ὅδε] ὧδε L ‖ 126 μύσος] μῦσος L

κακοκαρπίαν ἅπασαν ἀσβέστῳ φλογὶ καύσοι
καὶ τοὺς μὴ στέργοντας καλῶς τὸ φῶς τῆς ἀληθείας
ἀλλὰ κακῶς προκρίνοντας τὸν σκοτασμὸν τοῦ ψεύδους
πρὸς σκότος παντεξώτερον δικαίως ἀποπέμψοι.
σὺ δ' αὐτοκράτορ, ἔκλαμπρε τὴν ἀρετήν, φωσφόρε,
ὑπὲρ τὸν ἥλιον αὐτὸν ἐκλάμψοις τηνικαῦτα,
ὅτι καὶ τὰ γεννήματα τῆς σκοτεινῆς καρδίας,
ἀετιδῆ σπουδάζοντα δοκεῖν, ἐξαπελέγχεις
ζοφώδεις νυκτικόρακας καὶ κατησβολωμένους,
ἐγγελωμένους γενικῇ βαρβαρεπωνυμίᾳ.
νόθον γονῆς ἐλεγκτικὸς ὁ ποταμὸς ὁ Ῥῆνος,
σὺ τοῦ θεοῦ δὲ ποταμός, ὁ πληρωθεὶς ὑδάτων,
ὑδάτων τῶν τοῦ πνεύματος, ὑδάτων θεορρύτων,
φρονήσεως, συνέσεως, σοφίας, ἀγχινοίας,
δι' ὧν ἐλέγχεις ἔκγονα ψυχῆς πεπορνευμένης,
ψυχῆς ὀργώσης μανικόν, ὅλης ἐξοιστρουμένης.
ἔκφρονος ἐκ τῆς ἄνωθεν καταγελάστου πλάνης.
Δαυὶδ ἠρίστευσε πολλὰ κατὰ τῶν ἀλλοφύλων,
ἐκ δέ γε τῆς πραότητος ἐπίσημος ἐδείχθη, fol. 90r
ἐκ ταύτης πλέον ᾄδεται πάντων τῶν βασιλέων·
γνώριμος ἐκ φρονήσεως ὁ Σολομὼν κατέστη,
ταύτην γὰρ ὡς προτέρημα πλέον τῶν ἄλλων ἔσχε·
σύ, κράτιστε, τὰ κράτιστα φέρεις τῶν ἀμφοτέρων.
πολλαὶ γὰρ ἀριστεῖαί σου, πολλαὶ κατ' ἐχθρῶν νῖκαι,
πολλὰ τὰ κατορθώματα, πολλὰ τὰ τρόπαιά σου,
ἐξαίρετα τῶν ὅλων δὲ φρόνησις καὶ πραότης.
θυμόν τινες βασιλικὸν ἐθαύμασαν μεγάλως
καὶ τοῦτον λέοντος θυμῷ παρείκασαν ἀσχέτῳ,
ἐγὼ δ' ἀλλὰ πραότητα θαυμάζων βασιλέως
ἐξομοιῶ πραότητι τοῦ πάντων βασιλέως.
μάθετε πάντες ἀπ' ἐμοῦ λέγοντος, ὅτι πρᾶος

καὶ ταπεινὸς καθέστηκε πάντοτε τῇ καρδίᾳ.
οὐκ ἔστι γὰρ ὁ κύριος ἐν πνεύματι βιαίῳ,
ὄρη μὲν διαλύοντι, συντρίβοντι δὲ πέτρας,
οὐκ ἔστιν οὐδ' ἐν συσσεισμῷ ταράσσοντι, στροβοῦντι,
οὐδ' ἐν πυρὶ φλογίζοντι. σφοδρῶς ἐκδαπανῶντι,
ὃ τὴν κακίαν ἔκφυλον οὖσαν ἐξαφανίζει,
ἀλλ' ἔστι πάντως ἐν φωνῇ λεπτῆς, πραείας αὔρας.
πραότης ἀγριότητος ἐκράτησε λεόντων
καὶ φωλεῶν ἐξώρισε θρασύτητα δρακόντων,
αὕτη καὶ πέρα θαλασσῶν τοῦ πράου συνεργία
τῶν μὲν συντρίψοι κεφαλάς, τῶν δὲ συνθλάσοι μύλας,
καὶ θηριώδης, ἐμμανής, ἀπηνεστάτη φύσις,
ὀργίλος, ἰταμότροπος, κατηλαζονευμένη
fol. 90v *πρὸς τοὺς ἀρχαίους σύμπασα τόπους ἐκδραπετεύσοι*
περιδεής, περίτρομος καὶ καταπεφρικυῖα.
καὶ σὺ δ', Ἄγαρ ταλαίπωρε, θύγατερ Βαβυλῶνος,
ἴδοις ἔν σοι τὰ τέκνα σου πικρῶς ἀνῃρημένα.
στερρότητι βασιλικῇ σφοδρῶς προσαραχθέντα
πέτρᾳ καθάπερ ἀρραγεῖ καὶ κατασυντριβέντα.
ὡς γὰρ ὁ λίθος ὁ τμηθεὶς ἄνευ χειρῶν ἐξ ὄρους
εἰκόνα πολυσύστατον συνέτριψε πατάξας,
ἐλέπτυνεν, ἀνάλωσεν, ἠφάνισεν εἰς τέλος,
αὐτὸς δ' ἐπλήρωσεν ὁμοῦ πᾶσαν τὴν οἰκουμένην·
οὕτως ὁ τὴν κραταίωσιν σχὼν ὑπ' αὐτοῦ συντρίψας,
λεπτύνας, ἀναλώσας τε τὴν σὴν πολυτεκνίαν
ἐξαφανίσοι καὶ τὴν γῆν δόξης αὐτοῦ πληρώσοι·

166 *καθέστηκε*] *καθέστηκα* L ‖ 171 *ὃ*] *καὶ* L nisi forte versus excidit ‖ 175 *πέρα*] *περά* L ‖ 176 *συντρίψοι*] *συντρίψει*[οι] pr. m. L ‖ *συνθλάσοι*] *συνθλάσει*[οι] pr. m. L ‖ 178 *ὀργίλος*] *ὀργῖλος* L ‖ 183 *προσαραχθέντα*] *προσαρραχθέντα* L

κἂν ἐπ' αὐτὸν τὸν κραταιὸν σὺ πέσῃς, συντριβείης,
κἂν οὗτος ἐπὶ σὲ πέσῃ, συντρίψας ἐκλικμήσοι.
σὺ μὲν γὰρ συμποδιστικὸς καὶ πατακτικὸς ἅμα,
τοῖς δὲ πιστοῖς στηρικτικὸς καὶ σωστικὸς ἐξόχως,
εἰς πτῶσιν, εἰς ἀνάστασιν τεθεὶς ὑπὸ κυρίου,
ἀνάστασιν τῶν εὐσεβῶν, πτῶσιν τῶν ἐναντίων,
ἕως ἂν πρὸς ὁμόνοιαν ὑπακοῆς συνάψῃ
τὴν ἕω τὴν ἑσπέραν τε συνδήσας, συναρμόσας,
καὶ θαυμαστή τις κεφαλὴ γωνίας κατασταίη
ἡ πραοτάτη κεφαλή, τὸ μίμημα κυρίου,
πραείας ἔργον κεφαλῆς, πράττειν ἐμφρόνως πάντα.
κατὰ καιρὸν καρτερικῶς οὐ μετ' ὀλιγωρίας,
ἵνα νικῶσα συντηρῇ πρὸς δύναμιν τὰ μέλη,
μισοῦσα κέρδος πρόξενον εἰς ἑαυτὴν ζημίας.
πραότης γὰρ καθέστηκε γέννημα τῆς ἀνδρίας, fol. 91r
ἀνδρίας δ' ἐγχειρήματα πάντα λελογισμένα.
αὕτη μετὰ συμφέροντος σκοπεῖ καὶ τὰς ἐκβάσεις,
ἡ δ' ἀγριότης πέφυκεν ἀπόγονος τοῦ θράσους,
θράσος δὲ πᾶν ἀλόγιστον καὶ παρακινδυνεῦον.
ποτὲ μὲν Τῖτος εἴρηκεν ὁ βασιλεὺς Ῥωμαίων·
'οὐδ' ὅλως ἐβασίλευσα τὴν σήμερον ἡμέραν,
οὐδὲ γὰρ εὐηργέτησα τὴν σήμερον οὐδένα.'
νῦν δ' ἀλλ' αὐτὰ τὰ πράγματα τρανῶς διακηρύττει,
ὡς οὐδεμίαν εὕροι τις ἡμέραν ἀλλ' οὐδ' ὥραν,
οὐδὲ λεπτόν, οὐδὲ στιγμήν, ἀκριβῶς ἐξετάζων,
ὁπόταν οὐκ εὐεργετῇ πολλούς, οὐχ ἕνα μόνον,
ὁ κραταιὸ<ς ἄναξ> ἡμῶν καὶ μέγας αὐτοκράτωρ.
τῶν ἀρετῶν γὰρ θησαυρὸς πολυπληθὴς ὑπάρχων,

198 *συνάψῃ*] *συνάψοι* L ‖ 215 *εὕροι*] *εὕρῃ* L ‖ 217 *εὐεργετῇ*] *εὐεργετεὶ* L ‖ 218 *κτραταιὸ<ς ἄναξ> ἡμῶν*] *κραταιο ἡμῶν* L ‖ 219 *πολυπληθὴς*] *πολυπληθὺς* L

πάντοτε πᾶσι χορηγεῖ, πᾶσιν ἀφθόνως νέμει
πανδαψιλεῖς τὰς δωρεὰς καὶ τὰς εὐεργεσίας,
πλοῦτον μὴ δαπανώμενον πάντας πλουτεῖν ἐθέλων.
πᾶς τοίνυν ὁ βουλόμενος ἐρευνᾶν μου τοὺς λόγους,
εὑρήσεις ἀληθεύοντας ἐπ' αὐτῶν τῶν πραγμάτων.
βλέπε γὰρ πρῶτον ἀσφαλῶς, ἀδιαστρόφως βλέπε
τὴν σύμπασαν κατάστασιν τὴν ἐν τῷ παλατίῳ.
τὴν παίδευσιν, τὴν σύνεσιν, τὴν προσοχὴν τοῦ βίου,
τὴν εὔτακτον ἀναστροφὴν καὶ συντετηρημένην,
πρὸ πάντων τὴν εἰς τὸν θεὸν εὐσεβεστάτην πίστιν,
τὴν εὐλαβῆ παράστασιν, ὅτε θεὸς ὑμνεῖται,
fol. 91v τὴν εἰς τοὺς δούλους τοῦ θεοῦ τιμήν, στοργὴν γνησίαν,
τὴν εἰς ἐχθροὺς τοὺς τοῦ θεοῦ πάλιν ἐκ διαμέτρου
ἀποστροφήν, ἀποπομπήν, ὡς ἔργοις αὐτοῖς κράζειν.
ἡμῖν δὲ λίαν, ὦ θεός, οἱ φίλοι σου τιμῶνται.
τούς σε μισοῦντας τὸ λοιπὸν ἡμεῖς ἀντιμισοῦμεν.
ταῦτα δήποθεν ἄκουσον ἀξιοπίστου λόγου·
δοξαζομένης κεφαλῆς δοξάζεται τὰ μέλη
καὶ χαίρει δοξαζόμενα, πασχούσης δὲ συμπάσχει.
βλέπε τοὺς ἔξω πάλιν δὲ πόσον εὐεργετοῦνται.
ὅταν τὸ πολυδόξαστον ὄνομα τοῦ κρατοῦντος
περιλαλῆται πανταχοῦ ταῖς ἀγαθοπραξίαις,
ὧν τοὺς ἐπαίνους οἶδα γὰρ τούτων τὰς ἐπιδόσεις.
εἰ δὲ καὶ βασιλεύς ἐστιν οὗ πράξεις ἐπαινοῦνται,
πάντες ὡς εἰς σκοπόν τινα βλέποντες ἐκμιμοῦνται·
τὸ γὰρ ὑπήκοον φιλεῖ τοὺς ἄρχοντας μιμεῖσθαι.
ὁρῶν ἐγὼ δὲ πάντοτε πάντας νουθετουμένους
σὺν ἀρχομένοις ἄρχοντας, ποιμένας, διδασκάλους,
— αἰδοῦνται γὰρ τὴν ἀρετὴν πάντες τοῦ βασιλέως —

234 ὦ] ὁ L

ἄλλον τινὰ Μελχισεδὲκ ἱεροβασιλέα
τὸν αὐτοκράτορα νοῶ, δεύτερον Χριστοῦ τύπον.
τί γοῦν καινόν, εἰ δεκατοῖ πάντα τὸν δεκατοῦντα
τὰς ἀπαρχὰς τῶν κρίσεων ἐκ τῶν κριτῶν λαμβάνων;
θεὸς ἐνομοθέτησε· τολμᾷ τις ἀντιλέγειν;
'δέδωκα γὰρ τῷ βασιλεῖ' φησι 'τὴν ἐμὴν κρίσιν.'
αὐτὸς κρινεῖ τὸ δίκαιον ὀρθῶς, ἀπαρεγκλίτως,
ἔχων τὴν ἕξιν τῆς ψυχῆς εὐθύτατον κανόνα,
πρὸς ἣν καὶ βίους ἅπαντας παρατιθεὶς καὶ λόγους fol. 92r
καὶ νουνεχῶς περισκοπῶν, σοφῶς ἀντεξετάζων,
καὶ δοκιμάζων ἄριστα τὸ κρεῖττον ἐξευρήσει,
τὸν ὀφθαλμὸν βασιλικῶς βλέποντα κεκτημένος
καὶ τὰς δοκοὺς ἐλέγχοντα τῆς ὅλης βασκανίας.
αὐτὸς οὐ λήψεταί ποτε πρόσωπον ἐν τῇ κρίσει,
αὐτὸς κρινεῖ τὸν μείζονα μετὰ τοῦ μικροτέρου
οὐ κατὰ δόξαν οὐδενὸς οὐδὲ κατὰ τὸν λόγον,
μετὰ δικαιοσύνης δέ, μετὰ τῆς ἀληθείας,
ἄδικον μῖσος ἀναιρῶν, τὸ γέννημα τοῦ φθόνου,
τὸν συκοφάντην ταπεινῶν εἰς χάος ἀπωλείας,
ὥσπερ ὁ πρῶτος βασιλεὺς τὸν πρῶτον συκοφάντην,
ἐντεῦθεν ἀνυψούμενος πρὸς βασιλείας ὕψος,
ἡλίῳ συμπαράμονον τῷ τῆς δικαιοσύνης,
πρῶτος ἐν γῇ μετὰ πολλῆς τῆς δόξης βασιλεύσων
ἡλίου τοῦ κατ' αἴσθησιν πολλαῖς κυκλοφορίαις.

254 τῷ βασιλεῖ' φησι] φησί τῷ βασιλεῖ L ‖ 271 πρῶτος] πρῶτον L

NICEPHORI BLEMMYDAE VERSUS AD IOHANNEM FILIUM THEODORI LASCARIS

fol. 121v Τῷ νεογνῷ μου βασιλεῖ, τῷ βασιλείας ἄνθει,
εὔχεται σὸς πρεσβύτερος μονάζων Νικηφόρος.

Ἡλίου τέκνον παμφαοῦς, λαμπρᾶς σελήνης γόνε,
διττοῦ φωτὸς ἀπαύγασμα, διττῆς ἀκτῖνος αἴγλη,
τῆς νοερότητος αὐτῆς ἐκσφράγισμα πατρόθεν,
τῆς ἐξαιρέτου πάλιν δὲ μητρόθεν σωφροσύνης,
παρθένου τόκος ὁ Χριστός, σὺ τῆς σωφρονεστάτης·
Χριστοῦ πατὴρ ὁ πρῶτος νοῦς, παντάναξ, παντοκράτωρ,
καὶ σοῦ πατὴρ ἐν νοεροῖς τοῖς καθ' ἡμᾶς ὁ πρῶτος.
Χριστοῦ πατὴρ κληρουχικῶς αὐτάναξ, αὐτοκράτωρ,
ἐκ γὰρ Χριστοῦ Χριστός ἐστι· καὶ σὺ χριστὸς ἐκ τούτου.
ἐζήτουν μάγοι τὸν Χριστόν, ἡμεῖς δὲ σὲ ποσάκις·
ποσάκις ἐζητήσαμεν μαθεῖν τὴν γένεσίν σου,
ποσάκις ἠτενίσαμεν πρὸς οὐρανὸν σοῦ χάριν,
πόσας ὁδοὺς ἠνύσαμεν εὐχῶν ὡς ἴδωμέν σε.
καὶ νῦν ὁρῶμεν πόρρωθεν. ἰδού σε προσκυνοῦμεν,
καὶ προσκομίζομεν χρυσὸν ὡς βασιλεῖ σοι δῶρον,
τὰ γὰρ λοιπὰ τοῦ κρείττονος καὶ τῆς οἰκονομίας.
fol. 121r τὰ σὰ προσάγομεν ἐκ σῶν, σὰ γὰρ τὰ τῶν τεκόντων,
ἐκ τῶν πλουσίων πενιχρά, μικρὰ δ' ἐκ τῶν μεγάλων,
ὀλίγα καὶ βραχύτατα πάλιν ἐκ τῶν ἀπείρων.

12 ἠτενίσαμεν] ἠτενήσαμεν (ι supra η) V ‖ 13 εὐχῶν] εὔχων V

ὁ δὲ ταμίας τῆς ζωῆς, ὁ ποιητὴς τῶν χρόνων,
ζωὴν μακρὰν παράσχοι σοι πολυχρονιωτάτην·
ὁ πλουτοδότης κύριος πλουτοδοτήσειέ σε·
ὁ κραταιὸς καὶ δυνατός, ὁ βασιλεὺς τῆς δόξης
κρατύναι, δυναμώσαι σε, δοξάσαι, βασιλεῦσαι,
καὶ τὴν πολλὴν ὑφ' ἥλιον καθυποτάξειέ σοι.

24 σε] σει V

fol. 92r

Τοῦ αὐτοῦ εἰς τὴν μονὴν τῶν Σωσάνδρων στίχοι ἡρωικοί.

Τόνδε νεὼν μεγεθύντατον, αἴγλῃ παμφανόωντα,
κάρτεϊ παμμεδέοντος ἔγειρε μέδων κάρτιστος,
βριαρόφρων σαόφρων τε, γαληνιόων, ἰθύδικος,
δουκόβλαστος Ἰωάννης, κῦδος ὅλης βασιλείης,
στησιτρόπαιος ἄριστος ἰδ' ἐχθροδάμας περικλυτός.
τῷ μενεαίνων ἄσχετα φυσιόων τε, φριμάσσων
ἔκ τε θορών, παταγῶν δυσάντατος Ἰταλὸς ⟨κλίνθη⟩
ὑψοφρύς, ὑψικάρηνος, ἔραξε κατεπτηὼς κλίνθη
κὰκ τῆσδ' ἀντολίης δραπέτευσε μέγα στοναχήσας,
fol. 92v τὴν πρὶν λήισεν, ἔγχεϊ δάμασεν, ἄστεα πέρσεν,
τὴν ἐπὶ πόλλ' ἔτεα τρύχε πικρῶς δυσμενεαίνων.
ἀλλά γε νῦν κὰκ δύσιος ὤσθη δαπτόμενος κῆρ
ἐγχείῃ τε νόῳ τε μεγαθύμοιο ἄνακτος,
τοῦ πολέα τοι ἄεθλα μεγαλουργίης τελέθαται
ἄλλυδις ἄλλα· τίς σημάντωρ ἐξονομῆναι
ὅσσα μεγαδοσίης τεμένια θεοῦ πότι ὅσσα
νηούς τ' ἂρ σεμνεῖά τε κοινόβια, τὰ καλεῦνται;
δεῦρ' ἴθι, μοῦσ', ἐπικαίρια πέφραθι πάντ' ἐπέεσσιν.
αὐτὰρ ἄνακτος σπλάγχνα θεουδῆ μὴ ματεύειν

7 ⟨κλίνθη⟩] om. L ‖ 11 πόλλ' ἔτεα] πόλ' ἔτεα L ‖ 15 ἐξονομῆναι] ἐξονομῆνοι L ‖ 17 σεμνεῖά] σεμνήιά L ‖ 19 θεουδῆ] θεοῦ δὴ L

μηδ' ὁπόσους ἐλεαίρει κατ' ἦμαρ ἐκμεταλλᾶν,
κάλλιπε νουσοκομεῖον ἀείδειν καὶ λιλάουσα,
τὸ πτόλις εὐρυάγυια Νίκαια, λεῷ πλήθουσα,
παντευτείχεος, ἔνδοθ' ἐέργει κυδιόωσα,
τέκμαρ ἐὸν προφέριστον συμπαθείης βασιλῆος·
πτωχοτροφεῖον ἔα, λώβης ἄλκαρ ὀδυνάων.
ἄστεος ἔκτοθι Νυμφαίου δμημένον ἠνεμόεντος,
τἆλλα παραδραμέουσα μεγαδοσίης κρατέοντος,
ὅσσα καθ' εἶνα, κατὰ πολέας, νήριτα ἐόντα·
ἀτρεκέως ἀγόρευε τόδ' ἔργον θέσκελον αὖθις,
τὸ πραπίδεσσιν ἑῇσιν ἀτὰρ χέρεσι τεχνιτάων
ἔστασε θεοσεβείης στήλην ὑπέρτατος ἄναξ.
χῶρος, ὃ ἠέρος, ὕδατος, ἠρεμίης ἅμ' ἔχων εὖ,
χῶρος ὀλύμπιος, ὃν θέμις ἔμμεναι ἕδος μακάρων,
τοὺς Χριστοῖο ποθὴ κόσμοιο διέστασε πάντη
γαίης τ', αὖ διάκερσε μαχαίραις εὐαγγελίοιο,
τοὶ χθόνιοί περ ἐόντες ἆρον γέρας οὐρανιώνων· fol. 93r
χῶρος, ὃ τύχε πάρος γ' ἔμμεναι σκοπιή τις ἱρή,
Σώσανδρα καλεύμενος. ἐκ τ' ἀμερέων ἀρχάων
ἤτοι τὸν σκοπὸς ᾤκεεν ἅμ' ἑτέροισι παύροις.
ἑσμὸς ἀτὰρ λαοῖο κεν εἴκαθι ναιετάεσκεν.
ὀιζυρὸς αὖος σηκός, οὔτοι ῥήιδιος οἶμος.
κατάντης σκοπιῆθεν, ἀνάντης λαόθε, τρηχύς.
τῇ λασιόφρην ἄναξ, θεῖα μερμαίρων αἰέν,
διασταότα σύναψε, ῥήιδιον οἶμον ἔτευξε
πώεος ἄγχι μέλαθρα ποιμένι πρόφρονι πήξας.

21 νουσοκομεῖον] νουσοκομήιον L ‖ 23 ἔνδοθ'] ἔντοθ' L ‖ 25 πτωχοτροφεῖον] πτωχοτροφήιον L ‖ 28 καθ' εἶνα] καθεῖνα L ‖ 32 ὕδατος] ὕδαος L ‖ 33 ἔμμεναι] ἔμμεν L ‖ 38 ἀμερέων] ἀμεράων L ‖ 41 αὖος σηκός] αὐσσηγής L ‖ οἶμος] οἶμος L ‖ 42 κατάντης] κατάντη L ‖ 43 τῇ] τι L ‖ μερμαίρων] μερμήρων L ‖ 44 σύναψε] σύναφε L ‖ οἶμον] οἶμον L

ἐκ δέ τοι εἰσφοράων πανετήσιον ἐσσομενάων
δωτίνας ἱμερόεσσας ἑῷ πόρεν εὐχετάαρχῃ,
τῶν τ' ἀμφικτιόνων Σαοσάνδροις τόν περ ἐόντα
αὐθίμονον πόνον ἐώνατο πλείονος ἢ θέλον αὐτοί.
καὶ μὲν ἕποντο θυτάρχῃ τοί, θυέσσι πολεῦντο,
τοὺς δ' ἄλλους ἐκμετῴκισεν ᾗ σφίσιν ἵμερος ὦρτο.
κούφισέ τε ξυγόφιν βίην, ᾗ λίτασαν ὑπὸ ἄξας,
τοῖσιν ὁ χρηστὸς ξυγὸς ἀείρεται ἤματα πάντα.
αὐτὰρ ἐπεὶ ταδὶ μάλα θεοφρονέως περάανεν.
ἰάνας ἦτορ ἱηρέος ἠδὲ λεών, πρὸ δὲ θεῖον.
δὴ τόθ' ὕλας ξυνάγειρε, πριάμενος ἄλλοθεν ἄλλας.
τεχνίτας ἀολλίσατο μεμαότας ἠδ' ὑποεργούς·
τοῖσι γὰρ ἔργα μέμηλε. πρόπαντες ἀπηύρων ἄδδην
βρωτύος ἠδὲ ποτῆτος, ἔτ' αὖ ἐπιχείρων ἐσθλῶν.
οὐδ' εἶνα λᾶαν ἀπριάτην κεκομίσθαι οἱ ἔτλη.
ὡς δῆτ' ἀμύμονα δόμον ἀνάστασε τόνδε θεοῖο
κάλλυνέ θ' ὡς ἐπέοικεν ἀνάκτορον ὑπεράνακτος.
εἰδυίαις φρεσὶν ἔξοχα πνύμενα πάντ' ἐπιτάττων.
καί γ' ἐπιτερπέα τοι περιδμήσατο δώματα νηόν.
ᾗ κραδίην ῥέθεα περιπλέγμενά μιν κατὰ κόσμον.
καί γ' ἐπὶ τεῖχος ἐρυμνὸν ἔεργμα προβάλετο κύκλῳ.
ᾗ δέμας ἔντεα. φρουρέον ἄμυδις οἰκίᾳ σηκόν·
αὐτὰρ ἐπεί κε τὰ πάντα μεγαπρεπέως ἐκράανε.
πολλοῖσι κτεάτεσσιν ἐπωλβιάωσε τέμηνος
εὖ μονιήν τ' ἄρτυσε φερωνυμίῃ σαόσανδρον.

47 εὐχετάαρχῃ] εὐχεεταάρχη L | 52 βίην] βίης L | ᾗ λίτασαν] ἠλίτασαν L | ὑπὸ ἄξας] ὑποάξας L | 61 ἀνάστασε] ἄνστασε L
65 ῥέθεα] ῥέθρεα L | 67 ἄμυδις] ἀμμιδυς L

Τοῦ αὐτοῦ
εἰς τὴν αὐτὴν μονὴν στίχοι ἰαμβεῖοι. fol. 28v

Ὅτι βασιλεύς ἐστιν ἐκμαθεῖν θέλων
καὶ γνῶσιν εὑρεῖν βασιλικῆς ἀξίας
καὶ τῆς ἐπιστήμης δὲ ταύτης τοὺς λόγους,
τῆς ἀκροτάτης, τῆς λίαν ὑπερτάτης.
ἐξανιχνεῦσαι καὶ λαβεῖν ἀδυσχερῶς,
ἀφεὶς βαδίζειν τὴν πολυσχιδεστέραν,
ποικιλόμορφον. ποικιλότροπον τρίβον.
βίους προσώπων ἐξερευνῶν μυρίων
καὶ δυστέλεστον, ἔμπονον τρέχων δρόμον.
τῇ τοῦ κρατοῦντος ἀρετῇ πρόσχες μόνῃ,
τοῦ δουκοφυοῦς παγκλεοῦς Ἰωάννου,
πρόσχες καθὼς χρή. καὶ τὸ πᾶν ἐκμανθάνεις.
ταῖς τῶν ὅλων γὰρ ἀγαθῶν ἀγλαΐαις
καταγλαϊσθεὶς τὴν ψυχὴν ἐπαξίως
ὁ παγκράτιστος καὶ μέγιστος αὐτάναξ
κάλλιστον, ἀσύγκριτον. ἐξῃρημένον
τῆς ἀρετῆς μόρφωμα παραδεικνύει.
ὡς οὖν γραφικὴν εἴ τις ἐξήσκει τέχνην.
ὑπὲρ φυῆς σώματος εὑρηκὼς φύσιν
σχήματι καὶ χρώματι καὶ συμμετρίᾳ.
σύμπασι τοῖς τὸ κάλλος ἐξειργασμένοις.
οὐκ ἂν παρῆλθεν, ἀλλ' ἔγραψεν, ἵν' ἔχῃ
μορφῆς ἀρίστης ἀρχέτυπον εἰκόνα,
πίνακας ἄλλους παριδὼν τοὺς ἐκ μέρους
κάλλους τύπον φέροντας ἀλλ' οὐ καθόλου·

οὕτω τὸ κάλλος ἀρετῆς εἴ τις θέλει
τῆς ἐξόχου τε καὶ βασιλικωτάτης
ἰδεῖν ἀπλανῶς, ἀσφαλῶς ἐγνωκέναι
καὶ ζωγραφῆσαι χρώμασι τοῖς τοῦ λόγου.
πᾶσαν ἀφεὶς μόρφωσιν ἐκδηλουμένην
καὶ καλλονὴν ἅπασαν ἐκθρυλλουμένην
μορφὴν ὁράτω, κάλλος ἐκμανθανέτω.
χάριτι καὶ θαύματι συντεθειμένα.
ὁ πρῶτος αὐτὰ χρωματουργὸς πανσόφως.
ποικιλόμικτα χρώματα συσκευάσας,
κατακεράσας τῶν καλῶν τὰς ἰδέας,
f. 91r ἐν τῇ ψυχῇ γέγραφε τοῦ βασιλέως
ὡς ἐν καθαρῷ καὶ διαυγεῖ πυξίῳ,
αὐτῆς διδούσης τὴν προαίρεσιν ὅλην.
ὑπηρετοῦσαν εὐφυῶς τῷ τεχνίτῃ.
ὦ φύσεως τεχνῖτα, σὺ κτίσας μόνος.
σὺ καλλύνας τε τὸν βασιλέα μόνος,
σὺ δοξάσας τε καὶ μεγαλύνας μόνος.
σκήνωμα δόξης σῆς ἔχεις αὐτὸν μόνος,
καὶ σὺ μὲν αὐτὸν ναὸν ἔμπνουν εἰργάσω
ναὸν φερωνυμοῦντα, χαρίτων πλέον.
αὐτὸς δὲ τοῦτον τὸν ναόν σοι προσφέρει.
ναὸν μέγιστον καὶ περικαλλῆ, πλέον,
τῷ παμβασιλεῖ βασιλεύς, μόνος μόνῳ.
ἄλλως γὰρ οὐκ ἔγνωκεν ἐκτός σου μόνον,
σὲ δὲ τρανῷ στόματι κράζει δεσπότην,
αὐτοκράτωρ μέν, ἀλλὰ σὺ παντοκράτωρ.
σῇ χειρὶ καρδίαν γὰρ αὐτοῦ κατέχεις,

28 ἀπλανῶς, ἀσφαλῶς] ἀσφαλῶς[β] ἀπλανῶς[α] L ‖ 46 πλέον] πλέων L

σὴ δεξιὰ δύναμιν αὐτῷ παρέχει,
σὴ δεξιὰ δίδωσιν ὕψος καὶ νίκας.
σὴ δεξιὰ τέθραυκεν ἐχθροὺς βαρβάρους.
σὴ δεξιὰ θραύσειεν αὐτοὺς εἰς τέλος
ὡς Ἀμαλήκ. Μωσῆς γάρ, ἰδού, σοὶ πράως.
ὃν παρὰ πάντας οἶδας ἄλλους, ὁ πρᾶος.
τὰς χεῖρας αἴρει· διὰ παντὸς συμμάχει.
Μωσῆς ἐρήμῳ πήγνυσι σκηνὴν πάλιν,
κιβωτὸς ἐν μέσῳ δὲ καὶ θεῖαι πλάκες.
σκηνῆς κάτοικοι πάντες ἀφηγνισμένοι.
ὕδατι ῥαντισθέντες, ἀλλὰ δακρύων,
καθαρτικῶν μὲν ὑπὲρ ὑσσώπου φύσιν.
δαμάλεως σποδοῦ δὲ πάσης προκρίτων.
νεκρὰν σχέσιν ἅπασαν ἐκκεκαρμένοι.
στολὴν ψυχῆς πλύναντες ἐκ παντὸς ῥύπου.
πρὸς τὴν κιβωτὸν ἀφικνεῖσθε συντόνως.
εὐχάς, λατρείας, ἔργα πάντα κυρίου
ἐπιτελεῖτε σὺν πάσῃ προθυμίᾳ,
μετ' εὐλαβείας, καὶ πτοεῖσθε τοὺς πλάκας.
μὴ συντριβῶσιν, ἔκδικος γὰρ τυγχάνει
ῥομφαία συγκόπτουσα τοὺς παραβάτας.
οὐ μή τις αὐτῶν τὴν καλὴν γῆν κατίδῃ.
κἀκεῖσε ῥομφαίαν γὰρ ἄλλην κατίδῃ
φλέγουσαν ἔξω καὶ στρέφουσαν εἰς φλόγα.
φλόγα γεέννης μηδ' ὅλως σβεννυμένην.
ὁ δραπετεύων ἐκδικήσεως φλόγα,
ἣν πέντε προὐξένησαν ἐμπαθεῖς πόλεις.
πύργοις κακίας ἐγκατωχυρωμέναι,
φεῦγε προθύμως, ἄγγελος τοῦ κυρίου

69 ἀφικνεῖσθε] ἀφικνεῖσθαι L ‖ 75 κατίδῃ] κατίδοι L

ὄρος παρεσκεύασε πρὸς σωτηρίαν,
ζωὴν ἄμοχθον, ἀμέριμνόν σοι βίον.
τί χρὴ πλανᾶσθαι καὶ περιτρέχειν ὄρη;
φεύγεις κατακλυσμὸν δὲ τῆς ἁμαρτίας·
ἰδού, κιβωτὸς καὶ τροφαὶ διτταί, δράμε.
καὶ σῶμα θρέψεις καὶ ψυχήν· μὴ βραδύνῃς.
Ἠλίας εἶ; Κάρμηλον, εἰ θέλεις, ἔχεις,
ἐγγὺς τὸ Χωρήβ, τῆς θεοπτίας ὄρος·
Ἰωάννης; ἔρημον οἴκησιν, ξένην,
ἀπαράκλητον, εὐπαράκλητον πάλιν.
ἡσυχίας στάδιον εἴπερ σὺ θέλεις,
παρηγορίας εἰ προαιρῇ χωρίον,
σώσανδρος ἁπλῶς ἡ μονὴ φερωνύμως.
ἀλλ' ὦ βασιλεῦ, Ἀβραάμ, ἐθνῶν πάτερ,
καὶ τὸν λόγον πιστοῦσιν οἱ πιστοὶ Σκύθαι,
τὸ δυσάριθμον πλῆθος, οὓς σὴ πατρότης
ἐξ ἑσπέρας ἤγαγεν εἰς φῶς ἡλίου·
συμμαρτυροῦσι τοῖς Ἄγαρ ὅσοι πάλιν
fol. 91v Σάρρας φανέντες ὑπὸ σοὶ πατρὶ τόκοι.
σκηνὴν ἐπήξω καὶ ξενίζεις ἀγγέλους,
τοὺς ἀναχωρήσαντας ὕλης καὶ πάθους.
σκηνὰς προητοίμασας ἄλλοις ἐν τόποις,
σκηνάς, τροφάς τε καὶ θεραπείας ἅμα
νοσοῦσι καὶ λωβῶσι καὶ πορουμένοις.
θεὸς δὲ πάντα πρὶν γενέσθαι προβλέπων
φιλοξενίας παρέχει σοι τὸ κλέος,
καλῶν ἁπάντων καταγώγιον, τέκνον
ῥίζης ἁγίας ἁγιόβλαστον κλάδον,
ἄνθος τίμιον ἀλλὰ δένδρου παντίμου

91 οἴκησιν] οἴκησον L | 100 τοῖς] τῆς L

ἐπαγγελίας καρπὸν εὐλογημένον.
Ἰσαὰκ ἐκσφράγισμα παντός σου τρόπου,
σῆς ἀρετῆς ἄγαλμα, θαῦμα τῷ βίῳ·
ὄντως θεοῦ δώρημα συντόμως φράσω.
θεὸς τὸ λοιπὸν 'εὐαρεστεῖ μοι' λέγει.
καὶ σοῦ τραφέντος ἐν καλῷ γήρως τέλει,
μετατεθέντος πρὸς βασιλείαν ἄνω,
τὸ σπέρμα σου πᾶν πατρικὸν κλῆρον λάβοι,
καὶ βασιλεύσοι δυσεκμετρήτοις χρόνοις.

Τοῦ αὐτοῦ
στίχοι εἰς τὸν ἅγιον Δημήτριον

Φυτουργὸς ὡς ἄριστος ἀγρὸν δεσπότου
σὺ καλλιεργεῖς ἐξόχως μόχθοις ὅσοις,
πολύτλα Δημήτριε, καρτεροψύχως.
ἀλλὰ καμών τε καὶ καθιδρώσας ἄκρως
φυτηκομίαις ἀρετῶν πολυτρόποις,
ἐκτηγανισθεὶς ἔνθεν ἐμπύροις πόνοις,
ἐκεῖθεν αὖ καύσωνι τῷ τῆς ἡμέρας,
διψᾷς ὕδωρ ζῶν καὶ τρέχεις πρὸς τὴν βρύσιν,
βρύσις ὁ Χριστός, μαρτύριον ὁ δρόμος.
ἀλλὰ τί τοῦτο; ζῶν μὲν ἐζήτεις ὕδωρ
καὶ τὴν βρύσιν ἔσπευδες ἐν τάχει φθάσαι,

116 εὐαρεστεῖ] εὐαρέστει L
Titulo pr. m. add. ἐν τῷ κατὰ Θεσσαλονίκην ναῷ αὐτοῦ προεκφωνηθέντες τῆς ἀναγνώσεως τοῦ μαρτυρίου αὐτοῦ. ἰστέον μέντοι, ὅτι μετὰ τὸ ἀναιρεθῆναι λόγχαις ὁ ἅγιος ἀνερρίφη εἰς φρέαρ κενὸν ὕδατος καὶ ἐπεχώσθη λίθοις, ὅθεν ὑπερεκβλύζει τὸ μύρον ἐλαιοειδές.

ὑπεισδύνεις λάκκον δὲ συντετριμμένον,
ὕδατος ὅνπερ ἐστέρησεν ἡ φύσις.
'ναί' φησιν 'ἵνα κατιδὼν σὺ θαυμάσῃς
καὶ καταπλαγῇς τὴν ἐμὴν φυτουργίαν.
πάντως τὸν ἀγρὸν οἶδας, ἔγνως τοὺς πόνους·
οὗτοι παρῆλθον, νῦν δὲ τοὺς καρποὺς βλέπε.
τὰ σύμβολα μᾶλλον δὲ τῆς εὐκαρπίας.
τὸ γὰρ ἔλαιον εἴτε μύρον μηνύει,
δαψιλὲς ἀένναον οὕτω τυγχάνον,
ὡς καὶ νικᾶν σύντριμμα καὶ φύσιν τρέπειν,
ἱλαρότητα, τερπνότητα πλουσίαν,
καὶ φῶς ἀνυπέρβλητον, ἄληκτον σέλας,
ψυχῆς φρονίμου παρθένου κληρουχίαν,
ἐγκατεχούσης πυρσοφαῆ λαμπάδα
καὶ δεσποτικοὺς εἰσδραμούσης θαλάμους.
οἶδα, συνῆκα· μαρτύρων εὐωδίᾳ
περιστερά, πάγκαλε, χαίρουσα, μύροις
τῶν πνευματικῶν ποικίλων χαρισμάτων
ὡραία τρυγὼν ᾄσματος λαλιστάτη,
ἧς ὑπερεπλήσθησαν αἱ σιαγόνες
μύρου λογικοῦ, κηρύγματος ἐνθέου,
δι' οὗ μυσάρας, ἀλόγιστον ἀπάτην
ἐξαφανίζεις ἀπελέγξας, φαυλίσας.
οἶδα, συνῆκα σαῖς διδαχαῖς πανσόφοις.
πῶς τῷ δι' ἡμᾶς ἐκκενωθέντι μύρῳ
σαυτὸν προσάγεις ὡς ἀλάβαστον μύρου,
καὶ συντριβεὶς τὸ σκεῦος ἀθλῶν ἐννόμως
fol. 95r ζωήν τε τὴν σὴν μαρτυρικῶς ἐκχέας
μυριπνοοῦσαν ἀρετῶν εὐκοσμίαις

27 εὐωδίᾳ] εὐωδία L | 28 περιστερά] περιστερὰς L | 30 ᾄσματος] ἄσμετος L | 36 ἐκκενωθέντι] ἐκκεννωθέντι L

φέρεις τὸ μύρον μαρτυροῦν σου τὸν τρόπον.
ἄλλως δὲ βαπτίσματι πολλοὺς προσφέρων
ἐξ ἀνίκμου λάκκου μὲν ὕδωρ λαμβάνεις,
οὐδὲν τὸ καινόν, ὡς πολύ σου τὸ σθένος.
ἔχεις δὲ πάλιν καὶ λίαν καινοτρόπως
τὰς σὰς προχύσεις ὡς ἔλαιον, ὡς μύρον.
ἵνα δὲ μηδεὶς μηδ' ὅλως ἀμφιβάλοι,
τὸν στρατιώτην ἱερουργεῖν μανθάνων,
ἔργον τὸ βαπτίζειν γὰρ ἱερωσύνης,
ἀρχιεράρχην κύριός σε δεικνύει.
χρίσματι πολλοῦ καταπλουτίζων μύρου
ὁ χριστὸς ἐν πνεύματι σὲ χριστὸν μύροις
τίθησι, αὐτοῦ τὸν μιμητὴν τοῦ πάθους.
λόγχην ὁ Χριστὸς καὶ σὺ τὰς λόγχας στέγεις.
σταυρῷ προσκαθηλοῖς δὲ σάρκα καὶ πάθη.
ἐκεῖθεν ὕδωρ αἵματι συνεκρέει,
ἐντεῦθεν αἷμα καὶ ῥεῖθρα μύρου πόσα:
ἀλείφεται τὸ σῶμα ‹τοῦ› Χριστοῦ μύροις,
καὶ σοῦ τὸ σῶμα πᾶν καταντλεῖται μύροις.
μνήματι καινῷ τίθεται Χριστὸς πάλιν,
καὶ μνῆμα σοὶ δὲ καινότατον εὑρέθη·
οὐδεὶς κατέσχε πρὶν νεκρὸς σοῦ τὸν τάφον.
Χριστὸς δ' ἀναστὰς καθορᾶται τοῖς φίλοις,
καὶ σὺ ποσάκις καὶ πόσοις καθωράθης,
λαλῶν, ἐνεργῶν, θαυματουργῶν μυρία,
ἐχθροὺς διώκων, αἰχμαλώτους ἀνάγων,
ἐξαπελαύνων πνεύματα πονηρίας,
νόσοις θεραπεύων τε καὶ μαλακίαις·
καὶ σωματικῶς οὐ διαλείψεις παρών.
δεῖγμα τὸ μύρον σωματικῆς οὐσίας.

56 ἐκεῖθεν] ἐκεῖ L

Τοῦ αὐτοῦ
ἀκολουθία εἰς τὸν ἅγιον Γρηγόριον τὸν θεολόγον.

I.

Κάθισμα.

ἦχος δʹ. πρὸς τὸ ʽΚατεπλάγη Ἰωσήφʼ.

Ταῖς τῶν λόγων σου πλοκαῖς
ὡς ἐν σαγήνῃ συλλαβών,
ἐκ βυθοῦ τῆς σκοτεινῆς
ἀθέου πλάνης καὶ πικρᾶς
λαὸν ἀνείλκυσας, μέγιστε | θεηγόρε.
ὥσπερ ἁλιεὺς ἐμπειρότατος
εὐαγγελικὸς καὶ πανδόκιμος,
μεταβιβάζων ἄνω πρὸς τὸ ὕψος
τῶν φαεινῶν προσταγμάτων
Χριστοῦ, τῶν γλυκυτέρων ὑπὲρ τὸ μέλι,
στόμα λέγει προφήτου.

II.

Στιχηρά.

ἦχος βʹ. πρὸς ⟨τὸ⟩ ʽΠοίοις εὐφημιῶν στέμμασιʼ.

Ποίοις | ὑμνῳδιῶν κάλλεσι
στεφανώσωμεν τὸν θεολόγον;
τῆς θεογνωσίας τὸν κήρυκα
καὶ οἰκουμένης διδάσκαλον;
τὸν τῆς ἀσεβείας καθαιρέτην,
τὸν στύλον | τῆς ἐκκλησίας τὸν ἀκράδαντον,

13 στεφανώσωμεν] στεφανώσομεν L

τὸν πύργον | τῆς εὐσεβείας τὸν στερρότατον,
τὸν ποταμὸν τῆς σοφίας,
τὴν πηγὴν τῆς γνώσεως,
δι᾽ οὗ αὐχμώσας ψυχὰς L f. 95v
ὁ λόγος κατήρδευσεν.
ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις | εὐφημιῶν ἄνθεσι
καταστέψωμεν τὸν θεηγόρον;
τὸν ἐκ τῆς σαρκὸς τὸν νοῦν χωρίσαντα
καὶ τῶν γεηρῶν ὑπερυψώσαντα
καὶ πρὸς οὐρανὸν ἀναγαγόντα
καὶ τοῦτον | διαπεράσαντα ἐν πνεύματι
καὶ γνόντα | τὸν ὑπὲρ ἅπασαν κατάληψιν
προσωπικῇ διαιρέσει.
φυσικῇ ἑνότητι.
δι᾽ οὗ αἰσχύνει Χριστὸς
Σαβέλλιον, Ἄρειον,
ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις | πνευματικοῖς ᾄσμασι
τὸν Γρηγόριον ἀνευφημήσω;
τῆς θεολογίας τὴν σάλπιγγα,
τὴν πανευσήμως ἠχήσασαν
καὶ διαδραμοῦσαν πᾶσαν κτίσιν.
τὴν λύραν | τὴν ἐναρμόνιον τοῦ πνεύματος,
τὰ στίφη | τῶν ὀρθοδόξων ἐνηδύνουσαν.
αἱρετικοὺς δὲ πρὸς θρῆνον
συγκινοῦσαν ἄπαυστον
καὶ γοερὰν οἰμωγήν,
δι᾽ οὗ ἡμᾶς σώσειεν
ὁ ἔχων τὸ μέγα ἔλεος.

III.

Ἕτερα. πρὸς ⟨τὸ⟩ 'Φέροντες τὰ παρόντα γενναίως'.

Ἄναρχον | κατ' αἰτίαν διδάσκεις,
μέγιστε, | μόνον τὸν πατέρα,
τὸν υἱὸν δὲ ἄχρονον
καὶ πνεῦμα τὸ ἅγιον,
τὸν μὲν ἀγέννητον | κατ' ἰδιότητα,
τὸν δὲ μονογενὲς | γέννημα καὶ προαιώνιον,
τὸ δὲ προϊὸν | ἐκ τοῦ πατρὸς κατ' ἐκπόρευσιν,
ἐν τρισὶ προσώποις
μορφὴν μίαν ἀπαράλλακτον,
ἀρχὴν τοῦ σύμπαντος | μόνην πεφυκυῖαν.
πατὴρ γὰρ εὐδόκησεν,
ὁ υἱὸς παρῆξε,
τὸ πνεῦμα δὲ τετελείωκε
πᾶσαν οὐσίαν κτιστήν,
ὁρατήν τε καὶ ἀόρατον.

fol. 96r *Κόλπων σε | τοῦ πατρὸς μὴ ἐκστάντα,*
πάναγνον | μήτραν τῆς παρθένου
ὑποδύντα, κύριε,
δι' ἄκραν χρηστότητα,
σάρκα βροτήσιον, | ἔννουν καὶ ἔμψυχον,
ἐκ τοῦ παρθενικοῦ | αἵματος αὐτῷ συμπήξαντα
τεχθῆναι βροτὸν | πλὴν ἁμαρτίας παντέλειον
ἀληθῆ θεόν τε,
μὴ τροπὴν καθυπομείναντα,
ἀλλὰ τὸ πρόσλημμα | πᾶν τεθεωκότα
χωρὶς ἀλλοιώσεως
ὁ σὸς θεολόγος

τρανῶς κηρύττει Γρηγόριος.
οὗ ταῖς εὐχαῖς τὰς ψυχὰς
ἡμῶν σῶσον ὡς φιλάνθρωπος.

Ἔμπαλιν | τὴν τριάδα κηρύττεις
ἔχουσαν | τὴν οἰκονομίαν
τὴν κατὰ τὸν κύριον,
ὦ πάτερ θεόσοφε.
ὅθεν ταυτότητα | τῆς ἐνεργείας μὲν
τριάδι τῇ σεπτῇ, | φύσεώς τε καὶ θελήσεως,
διδάσκεις ἡμᾶς | διαφορὰν τῶν προσώπων δέ,
ἀντιστρόφως πάλιν
ὑποστάσεως ταυτότητα
καὶ ἑτερότητα | τῶν ἐνεργημάτων
Χριστῷ ⟨δύο φύσεσι⟩
καὶ τῶν θελημάτων,
βροτῷ θεῷ τε τυγχάνοντι
ὑπερφυῶς τῷ αὐτῷ,
παντελείῳ καὶ ἀμφότερα.

IV.

Πάλιν. πρὸς ⟨τὸ⟩ 'Χαίροις ἀσκητικῶν'.

Χαίροις, ὁ ὑπερύψηλος νοῦς,
ὁ τῆς τριάδος | θεατὴς βλεπτικώτατος
ἡ γλῶσσα ἡ τρανοτάτως | τῇ ἐκκλησίᾳ θεοῦ
μετὰ Ἰωάννην | τὸν βροντόπαιδα
τὰ θεῖα βροντήσασα | καὶ πρεπόντως ἐπίκλησιν
τὴν θεολόγου | σὺν ἐκείνῳ πλουτήσασα,
μόνη πάνσοφε, | θεολόγε Γρηγόριε.

78 τὴν τριάδα] τῆς τριάδος L || 88 ⟨δύο φύσεσι⟩ om. L
90 βροτῷ] βρωτῷ L.

χαίροις, ὁ τὴν θεότητα | τρισὶν ὑποστάσεσι,
φύσει μιᾷ δὲ κηρύξας, | καὶ τὸν Χριστὸν δύο φύσεσι,
μιᾷ δ' ὑποστάσει
τῇ τοῦ λόγου, προσλαβούσῃ | τὴν ἀνθρωπίνην μορφήν.

Χαίροις, θεολογίας πηγή,
τῆς θεωρίας | ἡ ἀνέκφραστος ἄβυσσος,
σοφίας πέλαγος μέγα | καὶ ποταμὸς τοῦ θεοῦ,
πολυχεύμων ἅμα | καὶ ἀέναος,
ὑδάτων ἑκάστοτε | πλήρης ὢν τῶν τοῦ πνεύματος,
ῥεῖθρα προχέων | διδαγμάτων θεόρρυτα,
θείας αὔλακας | ἐκκλησίας εἰς πλήσμιον
ἄρδοντα καὶ τοὺς στάχυας | τῆς πίστεως τρέφοντα
ὥριμον σῖτον πλουσίως | ἐνθέων πράξεων φέροντας
Χριστοῦ ἀποθήκαις,
τοῦ παρέχοντος τῷ κόσμῳ | τὸ μέγα ἔλεος.

Χαίροις, ὁ τῶν σοφῶν ἐλεγμῶν
ταῖς ἑλεπόλεσιν | ἐπάλξεις αἱρέσεων
καὶ βάρεις τῆς ἀσεβείας | συγκαταστρέψας εἰς γῆν,
καὶ στερροῖς δογμάτων | σου πυργώμασιν
ἀρρήκτοις θριγκίοις τε | τοῦ Χριστοῦ τὴν παγκόσμιον
κατοχυρώσας | ἐκκλησίαν, ὡς μείνειε
τοῖς τῆς πίστεως | πολεμίοις ἀπόρθητος,
χαίροις, ὃς τὴν τοῦ πνεύματος | σπασάμενος μάχαιραν
ὡς θεορρήμων τὰς γλώσσας | τῶν θεομάχων ἐξέτεμες
θεοῦ σεπτὸν στόμα,
τοῦ παρέχοντος τῷ κόσμῳ | τὸ μέγα ἔλεος.

V.

Κανὼν ἰαμβικὸς πεντάστιχος,
οὗ ἡ ἀκροστιχὶς ἐξ ἡρωελεγείων ἥδε·
‚Ὦ κύδιστε, μέγιστε, πάτερ θείων ἀγορῆτα,
ὄττι γε Νικηφόροιο ταλαντάτου f. 57r
ἐλαπαδνὸς τέκεν ᾆσμα νόος, σὺ δέχοιο ἱλαρῶς,
πήματος ἀμπλακίης ῥύεο δ' ὠυτόν'.
ἦχος α'.

ᾠδὴ πρώτη. ‚Ἔσωσε λαὸν θαυματουργῶν'.

Ὥσπερ Μωυσῆς ἐν θεουργῷ δυνάμει
Καινῶς καλύπτει κύμασιν Αἰγυπτίους
Ὑγροῖς, ἐρυθροῖς, αἱρέσεις οὕτω, σοφέ,
Δίνῃ κέκρυφας σῶν ἐλεγμῶν βυθίσας,
Ἵνα σὲ πιστῶν μακαρίζῃ σύλλογος.

Σύμπαντα λαβὼν γῆς σκοτουμένης πλάνῃ
Τὸν ὄλβον ἔνθα τῆς ἀπαθείας ὄρος
Ἐλθὼν κατοικεῖς, ἀβρόχως διεκδραμὼν
Μέλαν πέλαγος, κλεινέ, τῆς ἁμαρτίας,
Ἔχων ὁδηγόν, οὗ τὸ πρόσταγμα φάος.

Γνόφον θεϊκῆς δυσακαταληψίας
Ἰδὼν ἐπέγνως ὡς ἐφικτὸν τριάδα,
Σαφῶς τε πλαξὶ καρδίας νόμους θεοῦ
Τύποις δέδεξαι, παμμάκαρ, θεογράφοις,
Ἔνθεν καθαρῶς ἐκτιθεὶς τὰ δόγματα.

2 Αἰγυπτίους] αἰγυπτίοις L ‖ 3 ὑγροῖς] ὑγρὰς L | ἐρυθροῖς] ἐρυθρὰς L ‖ 5 μακαρίζῃ] μακαρίζει L ‖ 10 τὸ πρόσταγμα φάος] φάος τὸ προστάγμα L ‖ 15 ἐκτιθεὶς] ἐκτίθεις (η above) pr. m. L.

ᾠδὴ τρίτη. ʽΝεῦσον πρὸς ὕμνουςʼ.

Παύει Φενάννης Σαμουὴλ τεχθεὶς κλέος.
Αὐτὸς δὲ πολλοῖς ἐν σοφισταῖς τὸ σφοδρὸν
Τύφωμα βάλλεις γήθει μητρὸς Ἑλλάδος.
Ἐστὶ πλατὺ στόμα δὲ τῆς ἐκκλησίας
Ῥήμασι τοῖς σοῖς πανσόφοις, Γρηγόριε.

Θύεις τὸ σῶμα τὴν ψυχήν τε τῷ λόγῳ
fol. 97v Ἑκὼν νεκρωθεὶς παντὶ τῷ κόσμῳ σοφῶς.
Ἵνα μετάσχῃς, μάκαρ, ἀειζωίας,
Ὥσπερ θεὸς χάριτι τὴν σωτηρίαν
Νέμων λιταῖς σαῖς τοῖς πόθῳ τιμῶσί σε.

Ἅρμα συνάψας ἀρετῶν τετρακτύι
Γῆς ἀποχωρεῖς καὶ φθάνεις τὸν οὐρανόν·
Ὅθεν δογμάτων φέγγος ἀστράψας μέγα,
Ῥήτωρ ὁ πυρίπνους σὺ τῆς ἐκκλησίας,
Ἤλασας ἀχλὺν δυσσεβοῦς θρησκεύματος.

ᾠδὴ τετάρτη. ʽΓένους βροτείουʼ.

Τείνεις τὸ βλέμμα τῆς ψυχῆς πόρρω, μάκαρ,
Ἄνω σκοπιᾶς ἑστηκὼς ὑπερτάτης,
Ὁρᾷς δʼ ἐφʼ ὕψος τῆς πατρικῆς ἀξίας
Τὴν πρὶν ἄγοντα συγκεχωσμένην φύσιν
Τὸν ἀπὸ θαιμῶν εἰς βροτοὺς ἀφιγμένον.

Ἴσμεν, θεόφρον, τῆς σοφίας βαθμίσι
Γῆθεν πρὸς ὕψος οὐρανῶν ἀνηγμένον
Ἐς νοῦν λαβεῖν σε κτισμάτων ὅλων φύσεις,

16 Παύει] παύσει L | Φενάννης] φενάννης L | 17 πολλοῖς] πολλῆς L | 18 γήθει] γῆθι L

Νοὸς κίνησιν τερματώσαντα πάλιν
Ἰδεῖν ὑπὲρ νοῦν μὴ κινούμενον νόον.

Κώνωπας, ⟨πάτερ⟩, αἱρετίζοντας ὅλους
Ἤλεγξας ἔργοις, βομβολαλοῦντας μάτην,
Φωνὴν ἐκρήξας πνεύματος βροντουμένην,
Ὅλην τρέχουσαν τὴν χθόνα, θεηγόρε,
Ῥητῶν τε σεπτῶν ἀποπέμπουσαν φάος.

ᾠδὴ πέμπτη. ʽἘκ νυκτὸς ἔργωνʼ. fol. 98r

Ὁ λαμπρὸς ἄνθραξ πυρσοποιεῖ σὸν στόμα,
Ἰσχυρότατον φλογμὸν ἐξειργασμένον
Ὅλης ἀπάτης, φῶς δὲ τοῖς σοῖς, παμμάκαρ,
Τέκνοις πορίζων τῶν θεοῦ προσταγμάτων,
Ἄγων πρὸς ἀνέκφραστον ἄδυτον σέλας.

Λιμνασμὸς ὄντως ἐκ ποταμῶν σῶν λόγων
Ἀναδέδεικται τῶν θεορρύτων μέγας
Νάμασι πλύνων κρύφιον πάντα ῥύπον,
Τέγγων ἀρούρας εὐσεβοῦς ἐκκλησίας,
Ἄρδην κατακλύζων τε τὴν ἐναντίαν.

Τηλαυγὲς ὥσπερ ἐξανημμένον λύχνον
Ὁ δεσπότης σε τῆς κλίνης ὑπεξάρας
Ὕψος πρὸς ἄκρον, πάτερ, ὡς εὐεργέτης
Ἄγει λυχνίας κοσμικῆς φάος μέγα
Λάμποντα τοῖς πέρασι τῆς οἰκουμένης.

43 πνεύματος] πνεύματο L ‖ 44 τρέχουσαν] τρέχουσην L ‖ 54 Τέγγων] τέγκων L ‖ 56 λύχνον] λύγχνον L

ᾠδὴ ἕκτη. 'Ναίων Ἰωνᾶς'.

Αἴρει κλυδασμὸν ἐν θαλάσσῃ σοι δράκων
Πολὺν τὸ λοῦμα μηδέ πω δεδεγμένῳ,
Ἀλλὰ βοῇ σου πρὸς θεόν, μάκαρ, ζάλην
Δρασμῷ πεπομφὼς σὺ προφῆς τὴν αἰθρίαν
Νεῖμαι τὸ θεῖον ἀπογνοῦσι συμπλόοις.

Οἷα μιμητὴς τοῦ μεγίστου ποιμένος
Σαυτοῦ τὸ πνεῦμα σῶν λογικῶν θρεμμάτων
fol. 98v Τιθεὶς ὑπέρ γε λιθολευστὴν καὶ λύκους
Ἐλᾷς ἀπηνεῖς, σφεδονῶν τοῖς σοῖς λόγοις,
Κλέπτας διώκεις τῇ καλαύροπι, πάτερ.

Εὗρες πονηραῖς τρικυμίαις ὁλκάδα
Νηδὺν θαλάσσης προσδύνουσαν δεσπότου,
Ἀλλ' ὡς ἐκείνου τὸν τύπον σῶον φέρων
Σαυτῷ σιωπᾶν καὶ φιμοῦσθαι τῇ ζάλῃ,
Μάκαρ, κελεύσας τὴν γαλήνην εἰσφέρεις.

ᾠδὴ ἑβδόμη. 'Τῷ παντάνακτος'.

Ἀποστάτου πρὶν ψευδοχρίστου δ' αὖ, δύο
Νόων μεγάλων τῶν Ἀσσυρίων μένος,
Οὐρανοβάμον, οὐκ ἐπεφρίκεις ὅλως,
Οὐ πῦρ λυπηρῶν, ᾖδε σου τῷ δεσπότῃ
Στόμα γάρ· 'εἰς αἰῶνας εὐλογητὸς εἶ'.

Σπάθῃ λόγων σου, πνεύματ' ἐμπυροστόμῳ,
Ὕδραν πολυκέφαλον, Ἑλλήνων πλάνην,
Δειρεκτομήσας ὡς μέλη τῇ γνησίᾳ

66 Οἷα] οἶα L ‖ 72 Νηδὺν] νηλὺν L ‖ 74 φιμοῦσθαι] φιμεῦσθαι L ‖ 77 Ἀσσυρίων] ἀσυρίων L ‖ 79 ᾖδε] ἧδε L ‖ 81 πνεύματ' ἐμπυροστόμῳ] πνεῦμα τεμπυροστόμω L

Ἑνοῖς κεφαλῇ πάμποσα τῷ κυρίῳ
Χύματα, τῶν λαῶν σοφῶν μέγα κάρα.

Οἰκουμενικὸν τοῦ θεοῦ, πωυπάτερ,
Ἴχνος τι μικρὸν εὐτελοῦς ὂν ποιμνίου,
Ὄντως προάγεις κρεῖττον εἰς πλῆθος μέτρου
Ἱδρῶσιν πυκνοῖς, πλείονα προθεσπίσαι
Λόγῳ τε τὴν ἐπίδοσιν τούτῳ φθάνεις.

ᾠδὴ ὀγδόη. 'Μήτραν ἀφλέκτως'.

Ἅπαν φραγνύεις δυσσεβῶν θηρῶν στόμα
Ῥήμασι τοῖς σοῖς ὡς μοχλοῖς, θεηγόρε, fol. 99r
Ὡς πυρπνοῶν πνεύματι μαράνας φλόγα·
Σοφιστικῆς δὲ μανίας πλάνην φλέγεις
Πρὸς θεῖον ὕμνον συγκαλῶν πᾶσαν κτίσιν.

Ἥττῃ μελαίνῃ παρατάξεις τοῦ σκότους,
Μέγιστε, συσχὼν τοὺς σκιᾷ κρατουμένους
Ἀφηρπακὼς ἤγαγες ἰδεῖν ἡμέραν·
Τοίνυν στεφάνῳ θεολαμπεῖ τῆς νίκης
Ὁ πρύτανίς σε παγκλεῶς καταστέφει.

Σύμμορφον ὥσπερ πατρί, μάκαρ, καὶ λόγῳ
Ἄιδεις θεὸν σὺ πνεῦμα πρῶτος παντράνως·
Μένειν τριῶν ἕκαστον ἄπειρον, πάλιν
Πλὴν τῶν τριῶν γε τὴν ἀπειρίαν μόνην
Ληπτὴν διδάσκεις, τὴν μίαν συμφυΐᾳ.

ᾠδὴ ἐννάτη. 'Στέργειν μὲν ἡμᾶς'.

Ἄνδρα τὸν αὐτὸν καὶ θεὸν τετεγμένον
Κόρης ἐκ μητρὸς τὸν κύριον τυγχάνειν

102 Ἄιδεις] ἄδεις L

Ἰσηγοροῦμεν ἱεραρχῶν ἀκρότης,
Ἡμεῖς, ὁ λαός, ὃν κατηρτίσω, λόγοις
Σοῖς ἀξίῳ σε μακαρίζοντες χρέει.

Ῥώννυσι Χριστὸς τὴν γεώδη μου φύσιν
Ὕψους κατελθών, ἠτονηκυῖαν πάλαι,
Ἔμψυχον, ἔννουν ἐκ κόρης φέρων δέμας,
Ὁ γρήγορος νοῦς ὀξυγραφεῖς, οὗ φύσεις
Δύο ξύνοιδας, ἀλλ' ὑπόστασιν μίαν.

fol. 99v Ὦ τηλεκλειτὲ πρωτοποίμην ἀξίως,
Ὕψει παρεστὼς παντίμως τῇ τριάδι,
Τὸ ποίμνιόν σου γῆθεν ὑμνοῦν σε σκέπε
Ὀρθῶν· ὁδηγῶν πρὸς νομὰς ψυχοτρόφους
Ναίειν δίδου τε καὶ μονὰς οὐρανίους.

VI.

Ἐξαποστειλάριον.

ἦχος δ'. 'Γυναῖκες ἀκουτίσητε'.

Εἰς πᾶσαν ἐξελήλυθεν
ὁμοῦ τὴν γῆν ὁ φθόγγος σου,
καὶ εἰς τὰ πέρατα, πάτερ,
τῆς οἰκουμένης διέβη
ῥημάτων σῶν ἡ δύναμις,
δι' ὧν ἐθεολόγησας
τρανῶς τὰ θεῖα δόγματα,
αἱρετικῶν καταπαύσας | ἀθέους κενοφωνίας.

111 Χριστὸς] χριστὲ L ‖ VI. In mel. ἀκουτίσητε] ἀκουτίσσητε L

IN NICOLAUM IUNIOREM METHONENSEM

Ὅσοι γὰρ θεσμοὺς πατέρων χριστοφόρων,
ἀποστολικὰς παραδόσεις ἐνθέους,
πίστεως ἁπλῆς ἀληθεστάτους ὅρους
θέλετε ἰδεῖν ἀμέμπτους ὀρθοδόξους,
δεῦτε πρόσιτε τῷ σοφῷ διδασκάλῳ
Νικολάῳ λάμψαντι νέῳ Μεθώνης·
ἔνθους ἀρετῆς, σώφρονος συνουσίας,
ἣν ἔννομοι κυροῦσι τῆς γραφῆς τύποι,
ὁ τῶνδε πατὴρ γνησίων νοημάτων,
δι' ὧν τὸ νόθον κλῆμα πορνικοῦ σπόρου
ἔξωθεν ἕλκων ἀλλόφυλον ὡς γένος
πρὸς ἐξαπάτην τῶν λόγων τοὺς φληνάφους
ἤλεγξε, κατέβαλε ῥίψας εἰς χάος.
καὶ συλλογισμῶν τοὺς ἀσυμπλόκους βρόχους
ἔλυσεν ἄρδην ὡς ἀραχνίους μίτους.

2 ἀποστολικὰς] ἀποστολικάς τε Draeseke ‖ 5 πρόσιτε Draes. προσῆτε Allatius ‖ 7 ἔνθους Draes. ἔθους All. ‖ 8 ἔννομοι Draes. ἔνομοι All. ‖ 9 τῶνδε Draes. τῶν δ' All. | νοημάτων Draes. νοηκάτων All. ‖ 10 τὸ νόθον κλῆμα] νόθον κύλημα All. νόθον κύλικα Draes. ‖ 12 φληνάφους Draes. φλανάφους All. ‖ 14 ἀσυμπλόκους Draes. ἀσυμπλήκους All. ‖ 15 ἔλυσεν Draes. σύλυσεν All.

INDEX NOMINUM.

Abraam 118 v. 96
Achris provincia 36, 28
Adralestus Leo diaconus 32, 13 sq.
Aegyptii 127 v. 2
Agar 106 v. 181. 118 v. 100
Alexander Macedo 102 v. 63
Amalec 117 v. 58
Anaea oppidum 31, 10
Aphthonii progymnasiae 2, 25
Archaeus miles 34, 6 sq.
Arius 123 v. 34
Arsenius patriarcha (1254—60 et 1261—67) 45, 2 sq. 46, 2 sq.
Artamytes mons Rhodius 62, 1
Asiatis dioecesis 22, 10
Assyrii 130 v. 77
Athos mons 36, 7
Autoreianus v. Chaïtas

Babylon 106 v. 181
Bithynia 55, 7. 63, 6
Byzantium v. Constantinopolis
Byzas 7, 1

Calothetus Theodotus praefectus 91, 9
Cantacuzenus praefectus 34, 4 sq.
Carmel mons 118 v. 89
Caryces Demetrius, ὕπατος τῶν φιλοσόφων 12, 29 sq. 13, 29. 55, 15 sq. 58, 27 sq. 63, 13 sq.
Chaïtas Autoreianus diaconus 13, 28 sq. 14, 25 sq.
Chalamas episcopus Cyzici 8, 9. 10, 27 sq.
Choreb mons 118 v. 90
Cilices 41, 4. 80, 21 sq.
Claudiopolites Constantinus archiepiscopus Asiatidis 32, 26 sq. 33, 8 sq. 20 sq. 35, 23 sq. 38, 11 sq.
Constantinopolis 6, 29 sq. 55, 6
Constantinus v. Claudiopolites
Cosmas servus 23, 12 sq. 24 sq.
Craterus discipulus Blemmydae 29, 15 sq. 26 sq. 31, 17 sq.
Creta insula 12, 8
Cyzicus oppidum 8, 9

David 56, 26. 105 v. 152
Demetrius v. Caryces
S. Demetrius 119 sq.
Diophanti chresmologica 5, 2 sq.
Drimys 40, 3 sq. 50, 14 sq.
Ducas Ioannes Lascaris, filius Theodori II 110 sq.
— Ioannes Vatatzes, gener Theodori I (r. 1222—54) 7, 4 sq. 14, 18 sq. 23, 8. 29 sq. 31, 23 sq. 33, 17 sq. 35, 18 sq. 36, 17. 25. 38, 7 sq. 39, 1 sq. 41, 8 sq. 19 sq. 62, 18 sq. 63, 15 sq. 74, 23. 75, 11 sq. 88, 13. 100. 112 v. 4 115 v. 1 sq.
Ducas Theodorus I Lascaris (r. 1204—22) 4, 7. 13. 55, 13. 60, 1 sq.
— Theodorus II Lascaris, filius Ioannis Vatatzis, (r. 1254—58) 38, 7 sq. 39, 12. 41, 12. 20 sq. 45, 9 sq. 47, 11 sq. 49 sq. 88, 15. 89, 10 sq.
Δύο Βουνοὶ monasterium 22, 9

Edem 67, 9
Elias 118 v. 89
Elissaeus 28, 27
Emathia 72, 16

Ephesus urbs 12, 24. 29. 15, 6. 22, 12 sq. 23, 12 sq. 38, 11. 60, 31. 63, 4. 70, 25. 72, 3. 15. 91, 8
episcopi v. Chalamas, Claudiopolites, Lopadium, Manasses, Monasteriotes, Nicephorus, Nicolaus, Pepagomenus

Frigga'(?) paelex Ioannis Vatatzis 39, 20 sq. 74, 12 sq. 75, 3

Gabalas Leo, dominus Rhodi 61, 13 sq. 62, 11 sq.
Gabriel monachus 90, 25 sq.
Galesium 34, 15
Germanus patriarcha (1222—40) 6, 28 sq. 9, 10 sq. 12, 22 sq. 14, 25 sq. 16, 17 sq. 19, 5 sq. 21, 12 sq. 38, 29 sq. 64, 11 sq. 74, 24
Graeci v. Hellenes
Graecia v. Hellas
Gregorius Nazianzenus 122 sq.
Gregorius IX papa (1227—41) 64, 20

Hagar v. Agar
Hellas 128 v. 18
Hellenes 4, 17. 130 v. 82
Hermogenis rhetorica 2, 25
Hicanatus praefectus 30, 24 sq.
Hierosolyma 28, 4 sq. 61, 4
Homeri carmina 2, 24
Horeb v. Choreb

Ida mons 23, 4. 9
Innocentius IV papa (1243—54) 40, 27
Ioannes baptista 118 v. 91
Ioannes v. Ducas
Ioannes evangelista 66, 3. 84, 1
Ἰωάννου τοῦ θεολόγου monasterium 84, 1
Iordanes flumen 28, 25
Isaac 118 v. 113
Itali 7, 1. 55, 6. 112 v. 7

Larissa oppidum 36, 11
Lascaris v. Ducas
Latini 4, 16. 28
Latrum mons 22, 8
Leo v. Adralestus, Gabalas
Lesbus insula 21, 18
Lopadium 9, 19

Magnesia urbs 46, 9. 89, 22
Manasses archiepiscopus Asiatidis 22, 11 sq. 29, 20 sq. 32, 5 sq. 61, 1. 70, 27
Manichaei 16, 17
Manuel patriarcha (1244—54) 39, 10. 41, 19. 74, 24 sq. 84, 5. 88, 13
Melchisedec 109 v. 249
Methodius patriarcha (1240) 39, 10. 74, 27
Methone 133 v. 6
Michael v. Palaeologus
Michael princeps Thessaliae 14, 19 sq.
Michael iunior princeps Thessaliae 45, 12
monasteria v. *Δύο Βουνοί*, *Ἰωάννου τοῦ θεολόγου*, Paxamadium, *τοῦ Πυθαγόρου*, Sosandra, *τοῦ Θαυματουργοῦ*, *θεοῦ τοῦ ὄντος*
Monasteriotes episcopus Ephesi 15, 6 sq.
Moses 117 v. 58. 61. 127 v. 1

Nicaea caput Bithyniae 6, 26. 7, 2. 12, 6. 16, 19. 25. 21, 21. 39, 2. 42, 3. 55, 8. 63, 7. 70, 25. 113 v. 22
Nicaenus quidam 17, 4 sq.
Nicephorus episcopus Ephesi 38, 17
Nicolaus episcopus Cretae et Smyrnae 12, 8 sq.

Nicolaus iunior episcopus Methonensis 133
Nicomachi arithmetica 5, 1 sq.
Nicomedia 8, 8
Nymphaeum oppidum 6, 5. 7, 6. 12, 11. 19, 4. 72, 1. 75, 1. 113 v. 26

Palaeologus Michael VIII (r. 1259—82) 89, 19. 91, 12 sq.
Palaestina 72, 3
papa v. Gregorius, Innocentius
patriarcha v. Arsenius, Germanus, Manuel, Methodius
Paulus apostolus 13, 24. 68, 10 sq. 69, 1. 85, 8
Paxamadium monasterium 23, 17
Pepagomenus episcopus Nicomediae 8, 8. 10, 26 sq.
Petrus apostolus 68, 8
Petrus puer 23, 20 sq. 26, 6 sq. 30, 26 sq.
Phenanne 128 v. 16
Philippus Macedo 100 v. 63
Prodromus philosophus 4, 10. 27 sq. 6, 1. 21
Prusa oppidum 6, 27. 55, 7
Ptolemais 28, 21
τοῦ Πυθαγόρου monasterium 33, 16

Rhenus flumen 100 v. 145
Rhodus insula 61, 7. 26 sq.
Roma 28, 6. 63, 18 sq. 74, 19 sq. 75, 1 sq.
Romais 80, 21
Romani 64, 20. 85, 10. 107 v. 211
Romanus discipulus Blemmydae 29, 14 sq. 31, 22 sq. 100 ann.

Sabellius 123 v. 34
Salomon 104 v. 117. 119. 105 v. 155
Samuel 118 v. 16
Samus insula 33, 16
Sarah v. Sarra
Sarra 118 v. 101
Scamandrus oppidum Troadis 4, 10. 17. 6, 21. 55, 11
Scythae 118 v. 97
Smyrna 12, 4. 12. 26. 55, 12
Smyrnaei 12, 12
Sosandra monasterium 112 sq. 115 sq.
τοῦ Σωτῆρος ecclesia 22, 22

τοῦ Θαυματουργοῦ monasterium 27, 19 sq. 33, 13. 35, 24. 39, 17. 73, 2. 74, 11. 91, 29
Theodorus v. Ducas
Theodotus v. Calothetus
θεοῦ τοῦ ὄντος monasterium v. Emathia
Thessali 14, 19
Thessalia 45, 12
Thessalonice 14, 19. 36, 9. 37, 6. 119 ann.
Titus imperator 107 v. 211
Tripolis urbs 28, 20
Tyrus urbs 28, 20

Errata

pag. 1 tit. *μηνὶ* leg. ⟨*ἐγράφη*⟩ *μηνὶ*
„ 3, 23 ⟨τῆς⟩, leg. , ⟨τῆς⟩!
„ 13, 3 *ἐχθρόν* leg. *ἐχθρὸν*
„ 110 tit. IOHANNEM leg. IOANNEM

B. G. TEUBNER
IN LEIPZIG UND BERLIN.

Januar 1909.

A. Ausgaben griechischer und lateinischer Schriftstell

1a. Bibliotheca scriptorum Graecorum et Romanorum Teubneriana. [8.]

Diese Sammlung hat die Aufgabe, die gesamten noch vorhandenen Erzeug der griechischen und römischen Literatur in neuen, wohlfeilen Ausgaben zu verö lichen, soweit dies zugunsten der Wissenschaft oder der Schule wünschenswert Die Texte der Ausgaben beruhen auf den jeweils neuesten Ergebnissen der kritis Forschung, über die die beigefügte adnotatio critica, die sich teils in der praefa teils unter dem Text befindet, Auskunft gibt. Die Sammlung wird ununterbroc fortgesetzt werden und in den früher erschienenen Bänden durch neue, verbesserte A gaben stets mit den Fortschritten der Wissenschaft Schritt zu halten suchen.

Die Sammlung umfaßt zurzeit gegen 550 Bände, die bei einmaligem Bezuge sta ca. 1800 Mark geheftet. 2050 Mark gebunden zum Vorzugspreise von ca. 1350 Mar bzw. 1600 Mark abgegeben werden.

Alle Ausgaben sind auch gleichmäßig in Leinwand gebunden käuflich!

Textausgaben der griechischen und lateinischen Klassiker.

Die mit einem * bezeichneten Werke sind Neuerscheinungen der letzten Jahre.

a. Griechische Schriftsteller.

Aeliani de nat. anim. ll. XVII, var. hist., epistt., fragmm. Rec. R. Hercher. Vol. I. *M.* 5.— **5.50.** Vol. II. *M.* 7.20 **7.70.**

—— varia historia. Rec. R. Hercher. *M.* 1.50 **1.90.**

Aeneae commentarius poliorceticus. Rec. A. Hug. *M.* 1.35 **1.75.**

*__Aeschinis orationes.__ Ed. Fr. Blass. Ed. II. min. *M.* 2.80 **3.30.**

—— —— —— Ed. maior (m. Index v. Preuss). *M.* 9.20 **9.80.**

Aeschyli tragoediae. Iter. ed. H. Weil. *M.* 2.40 **3.—**

Einzeln jede Tragödie (Agamemnon. Choëphorae. Eumenides. Persae. Prometheus. Septem c. Th. Supplices) *M.* —.40 **—.70.**

*__—— cantica.__ Dig. O. Schroeder. *M.* 2.40 **2.80.**

[——] **Scholia in Persas.** Rec. O. Dähnhardt *M.* 3.60 **4.20.**

Aesopicae fabulae. Rec. C. Halm. *M.* —.90 **1.30.**

Alciphronis Rhetoris epistularum lib. IV. Ed. M. A. Schepers. *M.* 3.20 **3.60.**

Alexandri Lycopol. c. Manich. Ed. A. Brinkmann. *M.* 1.— **1.25.**

Alypius: s. Musici.

Anacreontis carmina. Ed. V. Rose. Ed. II. *M.* 1.— **1.40.**

Anaritius: s. Euclid. suppl.

*__Andocidis orationes.__ Ed. Fr. Blass. Ed. III. *M.* 1.40 **1.80.**

Annae Comnenae Alexias. Rec. A. Reifferscheid. 2 voll. *M.* 7.50 **8.60.**

Anonymus de incredibilibus: s. Mythographi.

Anthologia Graeca epigr. Palat. c. Plan Ed. H. Stadtmueller.

Vol. I: Pal. l. I—VI (Plan. l. V—VII *M.* 6.— **6.60.**

Vol. II. P. 1: Pal. l. VII (Plan. l. III *M.* 8.— **8.60.**

*Vol. III. P. 1: Pal. l. IX. (Epp. 1—563 Plan. l. I) *M.* 8.— **8.60.**

—— lyrica s. lyr. Graec. rell. Edd. Th. Bergk, E. Hiller, O. Crusius. *M.* 3.— **3.60.**

Antiphontis orationes et fragmenta. Ed. Fr. Blaß. Ed. II. *M.* 2 10 **2.50.**

Antonini, M. Aurel., commentarr. ll. XII. Rec. I. Stich. Ed. II. *M.* 2.40 **2.80.**

Antoninus Liberalis: s. Mythographi.

Apocalypsis Anastasiae. Ed. R. Homburg *M.* 1.20 **1.60.**

Apollodori bibliotheca. Ed. R. Wagner: siehe Mythographi. Vol. I.

Die **fetten** Ziffern verstehen sich für **gebundene** Exemplare.

lonius Pergaeus. Ed. et Lat. interpr. I. L. Heiberg. 2 voll. ℳ 9.— **10.—**

lonii Rhodii Argonautica. Rec. R. erkel. ℳ 1.50 **1.90.**

piani hist. Rom. Ed L. Mendelssohn. ol. I. ℳ 4.50 **5.—** Vol. II. Ed. P. Vierck. Ed. II. ℳ 6.— **6.60.**

himedis opera omnia. Ed. I. L. Heierg. 3 voll. ℳ 18.— **19.80.**

steae ad Philocratem epistula c. cet. **e vers.** LXX interpr. testim. Ed. P. Wendand. ℳ 4.— **4.50.**

tophanis comoediae. Ed. Th. Bergk. voll. Ed. II. ℳ 4.— **5.—**
- Vol. I: Acharn., Equites, Nubes, Vespae, Pax. ℳ 2.—, **2.50.**
- — II: Aves, Lysistrata, Thesmoph., Ranae, Eccles., Plutus. ℳ 2.— **2.50.**
- Einzeln jedes Stück ℳ —.60 **—.90.**

istotelis de partib. anim. ll. IV. Ed. B. Langkavel. ℳ 2.80 **3.20.**

— **de animalium motu.** Ed. Fr. Littig. [In Vorb.]

— **de animalibus historia.** Ed. L. Dittmeyer. ℳ 6.— **6.60.**

— **de arte poetica l.** Rec. W. Christ. ℳ —.60 **—.90.**

— **physica.** Rec. C. Prantl. [z. Zt. vergr.]

— **ethica Nicomachea.** Rec. Fr. Susemihl. Ed. alteram cur. O. Apelt. ℳ 2.40 **2.80.**

— **de coelo et de generatione et corruptione.** Rec. C. Prantl. ℳ 1.80 **2.20.**

— **quae feruntur de coloribus, de audibilibus, physiognomonica.** Rec. C. Prantl. ℳ —.60 **—.90.**

*— **politica.** Post Fr. Susemihlium rec. O. Immisch. ℳ 3.— **3.50.**

— **magna moralia.** Rec. Fr. Susemihl. ℳ 1.20 **1.60.**

— **de anima ll. III.** Rec. Guil. Biehl. ℳ 1.20 **1.60.**

[— **ethica Eudemia.**] Eudemi Rhodii ethica. Adi. de virtutibus et vitiis l. rec. Fr. Susemihl. ℳ 1.80 **2.20.**

— **ars rhetorica.** Ed A. Roemer. Ed. II. ℳ 3.60 **4.—**

— **metaphysica.** Rec. Guil. Christ. Ed. II. ℳ 2.40 **2.80.**

— **qui fereb. libror. fragmenta.** Coll. V. Rose. ℳ 4.50 **5.—**

— **oeconomica.** Rec. Fr. Susemihl. ℳ 1.50 **1.90.**

— **quae feruntur de plantis, de mirab. auscultat., mechanica, de lineis insec., ventorum situs et nomina, de Melisso Xenophane Gorgia.** Ed. O. Apelt. ℳ 3.— **3.40.**

— **parva naturalia.** Rec. Guil. Biehl. ℳ 1.80 **2.20.**

Aristotelis *Πολιτεία Ἀθηναίων.* Ed. Fr Blass. Ed. IV. ℳ 1.80 **2.20.**

— : s. a. Musici.

[— —] ***Divisiones** quae vulgo dicuntur **Aristoteleae.** Ed. H. Mutschmann. ℳ 2.80 **3.20.**

Arriani Anabasis. Rec. Car. Abicht. [z. Zt. vergr.]

*— **quae exstant omnia.** Ed A. G. Roos. Vol. I. Anabasis. Ed. maior. Mit 1 Tafel. ℳ 3.60 **4.20.**

*— **Anabasis.** Ed. A. G. Roos. Ed. min. ℳ 1.80 **2.20.**

— **scripta minora.** Edd. R. Hercher et A. Eberhard. Ed. II. ℳ 1.80 **2.20.**

Athenaei dipnosophistae ll. XV. Rec. G. Kaibel. 3 voll. ℳ 17.10 **18.90.**

Autolyci de sphaera quae movetur l., de ortibus et occasibus ll. II. Ed. Fr. Hultsch. ℳ 3 60 **4.—**

